eul_wid: tro-an

*Αἰσχύλου Σχόλια* · Aeschylus Scholia

# Scholia-Persians

*Σχόλια εἰς Πέρσας*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Βυζαντινὴ Ἑλληνική* Byzantine Greek
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

sch hyp Τοῦ αὐτοῦ σοφωτάτου Μαγίστρου. Ἡ μὲν τοῦ δράματος ὑπόθεσίς ἐστιν ἡ κατὰ τῆς Ἑλλάδος ἐπιστρατεία τοῦ Ξέρξου καὶ ἡ ἐκεῖθεν δυστυχὴς ἀναχώρησις. ἡ δὲ ἱστορία πᾶσα ἔχει οὕτως. Ἱππίας ὁ Πεισιστράτου τύραννος ὢν Ἀθηναίων ἐξέπεσε τῆς τυραννίδος. ἐλθὼν οὖν παρὰ Πέρσας ἱκετεύει Δαρεῖον στρατεύειν κατ' Ἀθηνῶν, καὶ ὃς πείθεται, ὡς Ἀριστείδης φησίν. Ἡρόδοτος δὲ γράφει Ἀθηναίους ἀναπεισθέντας ὑπ' Ἀρισταγόρου τοῦ Μιλησίου πορθῆσαι πόλιν τὰς Σάρδεις οὔσας ὑπὸ Δαρεῖον καὶ ἑτέρας πολλάς. ὃ καὶ μαθὼν Δαρεῖος ἤρετο τίνες οἱ Ἀθηναῖοι καὶ ἀπέστειλε κατ' αὐτῶν Μαρδόνιον μετὰ βαρείας δυνάμεως καὶ στόλου πολλοῦ. ναυαγήσαντα δὲ τοῦτον περὶ τὸν Ἄθω, ὡς δισμυρίους ἄνδρας ναυαγῆσαι καὶ τραυματισθῆναι ὑπὸ Θρᾳκῶν καὶ αὐτόν, παραλύει μὲν ὁ Δαρεῖος τοῦτον τῆς ἀρχῆς, δευτέρῳ δὲ ἔτει ἀπὸ τοῦδε ἔπεμψεν Ἀθηναίοις σπυρίδα, γῆν καὶ ὕδωρ αἰτῶν ὡς δῆθεν ἐντεῦθεν δόξαι γῆς καὶ θαλάττης εἶναι κύριος· οἱ δὲ τοὺς μὲν Περσῶν πρέσβεις εἰς φρέαρ ζῶντας βαλόντες ἄνωθεν γῆν καὶ λίθων βολὰς πέμποντες τούτους κατέχωσαν. Μῦν δέ τινα Σάμιον ἑρμηνεύσαντα τοῖς Ἀθηναίοις τὰ Πέρσου γράμματα κατά τινας μὲν ἀνεῖλον, κατά τινας δὲ ἄτιμον ἐποίησαν, ὡς καὶ Ἀρίθμιον τὸν Ζελείτην ἠτίμωσαν, χρυσίον βαρβαρικὸν αὐτοῖς παρὰ Δαρείου κομίσαντα πρεσβευόμενον. Κυρσίλον δὲ τῆς βουλῆς ἕνα κατεθαλάττωσαν καὶ ἀνεῖλον Ἀθηναῖοι, ὅτι γῆν καὶ ὕδωρ συνεβούλευε πέμπειν τῷ βαρβάρῳ· αἱ δὲ τῶν Ἀθηναίων γυναῖκες τὴν γυναῖκα Κυρσίλου ὁμοίως κατελίθωσαν, καὶ οἱ παῖδες τοὺς παῖδας αὐτῶν. τῷ αὐτῷ ἔτει ὀλυμπιάδι οα' Δαρεῖος μετὰ τὸ ἐκστῆναι Μαρδόνιον τῆς ἀρχῆς ἔπεμψε πάλιν κατὰ τῆς Ἀττικῆς Δάτιν καὶ Ἀρταφρένην, ἀνεψιὸν αὐτοῦ, σὺν ἑξακοσίων νεῶν στόλῳ πεντήκοντα μυριάδας στρατιὰν ἔχοντι. καὶ Νάξον εἷλον καὶ Ἐρέτριαν νῆσον καὶ Εὐβοΐδα πόλιν, ἐν δὲ τῇ Δήλῳ Δάτις ἐθυμίασε τῷ Ἀπόλλωνι λιβανωτοῦ τριακόσια τάλαντα, ἀποπλεύσαντες δὲ καὶ περὶ Μαραθῶνα στρατοπεδευσάμενοι, σὺν οἷς καὶ ὁ τύραννος Ἱππίας, Μιλτιάδου στρατηγοῦντος Ἀθηναίων καὶ Στησιλέου, πολεμαρχοῦντος δὲ Καλλιμάχου καὶ Κυναιγείρου καὶ Πλαταιῶν συμμαχούντων αὐτοῖς χιλίων, ἡττῶνται καὶ πρὸς Δαρεῖον ὑποστρέφουσιν, ὅπερ ἀκηκοὼς κατὰ τῆς Ἑλλάδος ηὐτρεπίζετο στρατεύειν. ἐπὶ τρεῖς οὖν ὅλους ἐνιαυτοὺς στόλον τε ηὐτρέπιζε καὶ πεζὸν συνῆγε στρατόν. τετάρτῳ δὲ ἔτει Δαρεῖος μὲν τελευτᾷ, Ξέρξης δὲ καὶ τὴν βασιλείαν καὶ τὸν πόλεμον διαδέχεται καὶ δέκα παρελθόντων ἐνιαυτῶν τοῦτον ηὐτρέπιζε, Μαρδονίου ἀναγκάζοντος αὐτὸν πολεμεῖν, Ἀρταβάνου ἀποτρέποντος. ἦν οὖν ὁ πᾶς ἀριθμὸς τῆς στρατιᾶς αὐτοῦ ἀπόμαχός τε καὶ μάχιμος μυριάδες πεντακόσιαι, πλοῖα δὲ χίλια σζ'. τετρακόσια δ' ἦν τάλαντα ἡμερησία

τροφὴ τῷ στρατῷ. ἐμέτρησε δὲ τὴν στρατιὰν Ξέρξης τοῦτον τὸν τρόπον· μυρίανδρον τεῖχος κατασκευάσας καὶ τοῦτο πληρῶν καὶ κενῶν, οὕτω τὰς μυριάδας ἠρίθμει.

στρατευόντων οὖν κατὰ τῆς Ἑλλάδος ἠθέλησε καινοτομῆσαι τὰς τῶν στοιχείων φύσεις· Βουβάρης γὰρ καὶ ὁ πεντάπηχυς Ἀρταχαῖος προπεμφθέντες μετὰ πολλῶν μυριάδων τῆς ὀρυγῆς τοῦ Ἄθω ἐπεστάτουν καὶ διέκοπτον αὐτὸν καὶ ἐθαλάττουν εἰς βάθος. ἕτεροι δὲ γεφυροῦν ἐπέμφθησαν τὸν Ἑλλήσποντον περὶ τὴν τραχεῖαν ἀκτὴν λεγομένην μεταξὺ Σηστοῦ καὶ Ἀβύδου. γεγονυίας δὲ τῆς γεφύρας καὶ λυθείσης ὑπὸ χειμῶνος καὶ τῆς τοῦ πελάγους ῥύμης διακοσίαις ῥάβδων πληγαῖς ἔτυψε τὸν Ἑλλήσποντον, καὶ δύο δεσμοῖς σιδηροῖς ἐκέλευσεν ἑκατέρωθεν συσχεῖν τὸ πέλαγος ὡς δῆθεν τὴν θάλασσαν οἷα δούλην δεσμῶν τοῖς κλοιοῖς. ἑτέρας δὲ δύο γεφύρας ἀντὶ τῆς προτέρας τούτῳ τῷ τρόπῳ ἐποίησεν· ἐκέλευσε γὰρ ἅπαν τοῦτο τὸ πέλαγος πληρῶσαι νηῶν καὶ ταύτας πρὸς ἀλλήλας συνδῆσαι δεσμοῖς σιδηροῖς καὶ ἀσφαλίσασθαι ταύτας ἐξ ἑκατέρας ἠιόνος, εἶτα δοκοὺς διὰ πασῶν τούτων συνεχῶς προσηλῶσαι καὶ τούτου γενομένου γῆν ἐπιβαλεῖν καὶ καταστορέσαι μυρρίνων καὶ δαφνῶν φύλλα· ἑκατέρωθεν δὲ τῆς γεφύρας ἦσαν ἕτεροι δοκοὶ περικλείοντες τὴν γέφυραν, μήπως τις ὀλισθήσας καταπέσῃ πρὸς τὴν θάλασσαν. οὕτω μὲν αἱ γέφυραι γεγόνασι περὶ τὸν Ἑλλήσποντον καὶ λίθινον ἕδραν αὐτῷ ὑψηλὴν ἐκεῖ ἐποιήσαντο, ἐν ᾗπερ ἐφιδρυνθεὶς ὕστερον, ὅτε παρεγεγόνει, τὸ στράτευμα ἔβλεπε. πρῶτον δὲ περὶ 〈Κ〉 ελαινάς, π〈όλιν〉 τῆς Φρυγίας, ἐλθὼν ξενίζεται σὺν παντὶ τῷ στρατεύματι παρὰ Πύθιος τοῦ 〈Λυδ〉 οῦ, ὃς καὶ τῷ Δαρείῳ πρὶν ἐδωρήσατο χρυσὴν ἀναδενδράδα καὶ πλάτανον, καὶ τῷ Ξέρξῃ τότε ἐχαρίσατο ἀργυρίου δισχίλια τάλαντα καὶ τετρακοσίας μυριάδας δαρεικοῦ χρυσίου νομίσματος χιλιάσιν ὀλίγαις ἀπολειπομένας. ὧν οὐδὲν ὁ Ξέρξης λαβὼν ἀλλὰ τὴν προαίρεσιν ἀποδεξάμενος καὶ τὸ λεῖπον μᾶλλον τῶν μυριάδων ἀναπληρώσας αὐτῷ ἔμελλε πρὸς τὰ τοῦ Ἑλλησπόντου μέρη πορεύεσθαι διὰ Φρυγίας καὶ Λυδίας. περί τινα δὲ τόπον ἰδὼν πλάτανον ὡραίαν, καθ’ Ἡρόδοτον, χρυσῆν ἑτέραν τοιαύτην ἐποίησεν ὑφ’ ἣν καθεζόμενος ἐν μεσημβρίᾳ σκιᾶς ἀπέλαυε. παρευομένου δὲ αὐτοῦ προσωτέρω, ἐπικυψάντων μὲν τῶν ἵππων πιεῖν ἀπεξηράνθη ὁ Μαίανδρος, ὡς καὶ ὁ Πηνειὸς περὶ Θετταλίαν ὕστερον καὶ ἐν Ἀθήναις ὁ Ἰλισσὸς καὶ ἕτεροι. τοξευούσης δὲ τῆς στρατιᾶς ὁ ἥλιος ἀπεκρύπτετο τοῖς τοξεύμασιν. ἐφθακότος δὲ περὶ τὸν Ἑλλήσποντον ἔκλειψις ἡλίου καὶ σημεῖα ἐγένετο ἕτερα. ὅμως ἑπτὰ νυξὶ καὶ ἡμέραις ὁ στρατὸς ἀπερικόπως τὰς γεφύρας ἐπεραιοῦτο. τέλος ἐφ’ ἅρματος καὶ αὐτὸς διαπεραιοῦται. ἐρχομένου δὲ πρὸς τὴν Ἀττικὴν Ἀθηναίοις ἐδόθη χρησμὸς οὗτος· τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεὺς μοῦνον ἀπόρθητον τελέθειν, τὸ σὲ τέκνα τ’ ὀνήσει. μηδὲ σύ γ’ ἱπποσύνην τε μένειν καὶ πεζὸν ἰόντα πολλὸν ἀπ’ ἠπείρου στρατὸν ἥσυχος, ἀλλ’ ὑποχωρεῖν, καὶ ἕτερα τοιαῦτα.

τοῦτο γοῦν ἀκούσαντες οἱ Ἀθηναῖοι οὐκ ἐδύναντο ξυνιέναι τί τὸ ξύλινον τεῖχος, ἀλλ’ οἱ γέροντες ᾤοντο πύργους ξυλίνους προστάττειν αὐτοῖς τὴν Πυθίαν ποιεῖν. οὓς καί τινες ποιήσαντες καὶ ἐπαναβάντες ὑπὸ Περσῶν πύργοις αὐτοῖς κατεκαύθησαν. Θεμιστοκλῆς δὲ μόνος εἰπὼν ξύλινον τεῖχος εἶναι τὰς τριήρεις καὶ τοῦτο βούλεσθαι τὸν χρησμὸν ἔπεισε. καὶ τοὺς μαχίμους τριήρεσιν ἐμβαλὼν καὶ περὶ Σαλαμῖνα ὁρμίσας μετὰ τῶν ἄλλων Ἑλληνικῶν νεῶν γυναῖκας καὶ γέροντας καὶ παιδία ἐξέπεμψεν εἰς Τροιζῆνα. ἦσαν δὲ πᾶσαι αἱ τῶν Ἀθηναίων καὶ τῶν ἄλλων Ἑλλήνων νῆες σοα′. ἐρχομένου δὲ τοῦ Ξέρξου μετὰ τῆς πεζῆς στρατιᾶς καὶ μέλλοντος διαβαίνειν τὰς ἐν τῇ Ἑλλάδι οὕτω καλουμένας Πύλας, Λεωνίδας ὁ Σπαρτιάτης μετὰ τριακοσίων κατέσχε τὴν πάροδον· πάνυ δὲ λαμπρῶς ἀγωνισάμενος καὶ τῶν βαρβάρων πολλοὺς διαφθείρας καὶ ἀδελφοὺς δύο τοῦ Ξέρξου, τέλος ὑπὸ τοῦ τοσούτου πλήθους αὐτός τε καὶ οἱ σὺν αὐτῷ συμπατηθέντες ἀπώλοντο. ἐλθὼν δὲ ὁ Ξέρξης οὕτω μετὰ τῆς πεζῆς στρατιᾶς ταύτην μὲν περὶ Θήβας εἴασεν, αὐτὸς δὲ μετὰ οὐκ ὀλίγων ἀναβὰς περὶ τὸ Αἰγάλεον ὄρος ἐκάθητο—τὸ δέ ἐστιν ἀντικρὺ Σαλαμῖνος, —ὁρῶν τὴν ναυμαχίαν· ἐν Σαλαμῖνι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ συνέβαλον ἀμφότερα τὰ ναυτικά, τό τε βαρβαρικὸν καὶ τὸ Ἑλληνικόν. ἡττηθέντος δὲ κατ’ ἄκρας τοῦ βαρβαρικοῦ ναυτικοῦ θεώμενος ὁ Ξέρξης καὶ ἅμα ἀκούων ὡς μέλλουσιν Ἕλληνες τὴν γέφυραν καταλήψεσθαι καὶ διαφθερεῖν, Μαρδόνιον μὲν εἴασε μετὰ τῆς πεζῆς στρατιᾶς αὐτόθι, αὐτὸς δὲ μέρος τι τοῦ στρατεύματος παραλαβὼν δραμὼν καταλαμβάνει τὴν γέφυραν. καὶ πλείστοις κινδύνοις περιπεσὼν μόλις μετ’ ὀλίγων πάνυ ἀπεσώθη πρὸς τὴν πατρίδα. Μαρδονίῳ δὲ συμβαλόντες οἱ Ἀθηναῖοι κατεπολέμησαν· ἔσχε δὲ τὴν μὲν ἐν Σαλαμῖνι τῆς ναυμαχίας νίκην Θεμιστοκλῆς, τὴν δὲ ἐν Πλαταίᾳ τοῦ πεζοῦ νίκην Παυσανίας ὁ Λακεδαιμονίων στρατηγός. Ἡ μὲν σκηνὴ τοῦ δράματός ἐστι περὶ τῷ τάφῳ τοῦ Δαρείου· τὰ δὲ πρόσωπα· χορὸς γερόντων Περσῶν, Ἄτοσσα ἡ τοῦ Ξέρξου μήτηρ, ἄγγελος, εἴδωλον Δαρείου, Ξέρξης. ἡμέτερον. [135]

sch 1 τάδε μὲν Περσῶ ν: τὰ παρόντα εἴδη τοῦ χοροῦ ἑτέρως εἰσὶν ἐσχηματισμένα, ὡς καὶ ἀλλαχοῦ εἴρηται· τὰ μὲν γάρ εἰσι μονοστροφικὰ καὶ συστηματικὰ ἐξ ὁμοίων κατὰ περιορισμοὺς ἀνίσους (σύστημα δέ ἐστιν, ὡς Ἡφαιστίων φησί, μέτρων συναγωγὴ ἢ δύο ἢ πλειόνων, ἢ ὁμοίων ἢ ἀνομοίων) τὰ δὲ κατὰ σχέσιν· εἰσὶ δὲ κατὰ σχέσιν στροφῶν πέντε· τοῦ τοιούτου ἐστὶ σχήματος καὶ τὸ ‘ Τελαμώνιε πα ῖ , τῆς ἀμφιρύτου Σαλαμῖνοσ ‘ ἐν Αἴαντι Σοφοκλέους καὶ ἐν Φοινίσσαις Εὐριπίδου τὸ ‘ Τύριον οἶδμα λιποῦσα ‘, ὡς καὶ ἐν ἑτέροις εἴρηται. ἔστι δὲ τῆς παρούσης μονοστρόφου στροφῆς τὰ κῶλα ξε′, τὸ δὲ μέτρον ἀναπαιστικὸν Λακωνικὸν καλούμενον διὰ τὸ τὸν Λάκωνα Ἀλκμᾶνα πολλάκις τούτῳ χρήσασθαι· εἰσὶ δὲ τὰ μὲν τῶν κώλων δίμετρα ἀκατάληκτα, τὰ δὲ τῶν ἀποθέσεων δίμετρα καταληκτικά, ἃ καλεῖται παροιμιακά, τὸ μέντοι ϛ′, τὸ ια′, τὸ κγ′, τὸ λ′, τὸ λβ′, τὸ νη′ καὶ ξα′ μονόμετρα ἤτοι ἀναπαιστικὴ βάσις· πάντων δὲ τελευταῖον ‘ τείνοντα χρόνον τρομέονται ‘. ἐπὶ ταῖς ἀποθέσεσι πάσαις παράγραφος. τοῦ αὐτοῦ Μαγίστρου σχόλια. * δέον εἰπεῖν ‘ἡμεῖς οἱ γέροντες καλούμεθα πιστὰ καὶ ἀσφαλῆ τῶν ἐστρατευκότων καθ’ Ἑλλάδος Περσῶν‘, τουτέστιν ‘ἡμᾶς ὁ Ξέρξης ἐνταῦθα κατέλιπεν ἀσφαλεῖς καὶ πιστοὺς τῆς ἀρχῆς φύλακασ‘, ὥσπερ καὶ παρακατιὼν λέγει, πρὸς τὸ ‘ πιστὰ ‘ ‘ τάδε ‘ ἐπήνεγκεν· οἱ δὲ λέγοντες τὸ ‘ Πίστα ‘ ἀντὶ τοῦ ‘Πίστειρα‘ κατὰ συγκοπήν, παντὶ δῆλον ὅτι ἀμαθεῖς εἰσιν. ἡ εἴσθεσις τοῦ δράματος χορική· τὸ δὲ προοίμιον διηγηματικόν. ἡμέτερον. [30]

sch 6 Δαρειογενή ς: οὐ καλῶς τιθέασιν ἐνταῦθα τὸ ‘Δαρείου υἱόσ‘, ἐπεὶ οὐχ ἁρμόζει τῷ μέτρῳ οὔτε τῇ φράσει τοῦ λόγου· ταυτολογία γάρ ἐστι· διὸ καὶ παρ’ ἡμῶν ἐξεβλήθη ὡς παριττόν· μονόμετρον δέ ἐστι τὸ κῶλον ὡς καί τινα τῶν ἑξῆς, ὡς εἴρηται. παλαιόν. ὅτι Δαρεῖοι τρεῖς ἐγένοντο· τούτων δὲ πρῶτος ὁ Ὑστάσπου, προκριθεὶς ὑπὸ Περσῶν καὶ βασιλεύσας αὐτῶν, ὃς ἦν Ξέρξου πατὴρ τοῦ στρατεύσαντος ἐπὶ τοὺς Ἕλληνας· δεύτερος δὲ Δαρεῖος ὁ Ἀρταξέρξου Νόθος προσαγορευθ 〈είσ〉 · ἔσχατος Δαρεῖος ὁ ὑπὸ Ἀλεξάνδρου τοῦ Φιλίππου καταλυθείς· τινὲς δὲ καὶ τέταρτον Δαρεῖον εἶναι γράφουσιν. Σοῦσα καὶ Ἐκβάτανα πόλεις εἰσὶ Περσῶν ἐπίσημοι, ἐν αἷς καὶ τῶν βασιλέων ἦσαν βασίλεια. [10]

sch 16 * τοῦτο δὲ κατὰ ἄθροισίν ἐστι καὶ μερισμόν· ἄνω γὰρ εἰπὼν ὡς πᾶσα ἰσχὺς Ἀσιατογενὴς εἰς Ἑλλάδα ὥρμησε, νῦν ἐντεῦθεν ἀπαριθμεῖν ἄρχεται καὶ ὅθεν ὥρμησαν καὶ τίνες οἱ τῆς στρατιᾶς ἡγεμόνες. ἡμέτερον. [5]

sch 21 οἱ γράφοντες ‘ Ἀρταφέρνησ ‘ ἀμαθεῖς εἰσι τῶν μέτρων· οὐ χρὴ οὖν οὕτω γράφειν ἀλλ’ ‘ Ἀρταφρένησ ‘, ἵν’ ἔχῃ πρὸς τὸ μέτρον ὀρθῶς· ταῦτα δὲ πάντα ὀνόματά εἰσι τῶν ἀρχόντων οἳ τοῦ στρατοῦ τῶν Περσῶν ἦσαν ἡγεμόνες· ὧν τὰ μὲν ἱστόρησε, τὰ δὲ αὐτὸς ἔπλασεν. φοβεροὶ μὲν ἰδεῖ ν: * τοιοῦτοι γάρ εἰσιν ὡς τοῖς αὐτοὺς θεωμένοις φόβον ἐμποιεῖν, καὶ δεινοὶ κατὰ τὴν μάχην ἐν εὐτλήμονι καὶ καρτερικῇ δόξῃ ψυχῆς, τουτέστιν οὐ μόνον τῷ εἴδει εἰσὶ φοβεροὶ ἀλλὰ καὶ δόξαν πᾶσι παρέχουσιν ὡς ἄρα δεινοὶ πρὸς τὸ μάχεσθαι ἐν καρτερίᾳ καὶ γενναιότητι ψυχῆς· δέον δὲ εἰπεῖν ‘εὐτλήμονος καὶ καρτερικῆς ψυχῆσ‘, πρὸς τὸ ‘ δόξῃ ‘ ἐπήνεγκεν ‘ εὐτλήμονι δόξῃ ψυχῆσ ‘ εἰπὼν ὥσπερ καὶ ἐν ἄλλοις τισὶ πολλαχοῦ καὶ Εὐριπίδῃ εὕρηται λέγοντι ‘ ἅρμασι καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ψαλίοις τετραβάμοσι μώνυχα πῶλον ‘· οὐ γὰρ ἦσαν οἱ χαλινοὶ τετραβάμονες ἀλλὰ τὰ ἅρματα.

sch 36 * ἱερὰν τὴν Μέμφιν καλεῖ διὰ τὸ τιμᾶσθαι ἐκεῖ τὸν Ἄπιν καὶ μυστήρια τοῖς Αἰγυπτίοις γίνεσθαι. ὅτι τρεῖς Θῆβαί εἰσιν· αἱ ἑκατοντάπυλοι ἐν Αἰγύπτῳ, αἱ ἑπτάπυλοι ἐν Βοιωτίᾳ καὶ αἱ ὑποπλάκιοι λεγόμεναι ἐν Ἀσίᾳ, τὸ νῦν καλούμενον Ἀτραμύτιον.

sch 40 πρὸς τὸ ‘ πλῆθοσ ‘ ἔδει ἐπενεγκεῖν καὶ εἰπεῖν ‘ἀνάριθμον‘· νῦν δὲ πρὸς τὸ πρότερον ἀρσενικὸν ἀπέδωκεν. * Ἤπειρος τόπος ἐν τῇ Ἀσίᾳ οὕτω καλούμενος ὥσπερ καὶ ἐν τῇ Ἑλλάδι.

sch 44 ἡμέτερον. οὕτω χρὴ γράφειν τὸ κῶλον ὡς διωρθώθη παρ’ ἡμῶν ‘ βασιλεὺς διέπει ‘, ἵν’ οἰκείως πρὸς τὸ μέτρον ἔχῃ· οἱ δὲ γράφοντες ‘ βασιλῆς δίοπτοι ‘ οὐκ ἴσασι τὰ περὶ τῶν μέτρων· οὕτω γὰρ καὶ τὸ ‘ Σάρδεισ ‘ αὐτὴν τὴν πόλιν εἴη ἂν δηλοῦν καὶ οὐχ, ὡς οἴονταί τινες, τοὺς βασιλεῖς, λέγοντες ‘οἱ Σάρδεισ‘ καὶ ‘οἱ Σαρδικοί‘. ἡμέτερα.

sch 58 ἐπειδὴ πάντες ὑπὸ τὴν ἐξουσίαν ἦσαν τοῦ Ξέρξου καὶ ὑπήκοοι καὶ ὑποτελεῖς ἐτέλουν ἐκείνῳ, διὰ τοῦτο ‘ ὑποπομπαῖσ ‘ καὶ οὐχὶ ‘προπομπαῖσ‘ εἴρηκεν. προοίμιον β′ διηγηματικὸν καὶ αὐτό.

sch 65 πεπέρακεν μέ ν: ἐντεῦθεν αἱ κατὰ σχέσιν ἄρχονται στροφαί· καὶ εἰσὶ τῆς πρώτης ταυτησὶ στροφῆς τὰ κῶλα ζ′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τὸ α′ ἰωνικὸν ἀπ’ ἐλάττονος τρίμετρον ἀκατάληκτον καθαρόν, ἐξ ἰωνικῶν τριῶν· τὸ β′ καὶ τρίτον ὅμοια ἰωνικὰ δίμετρα ἀκατάληκτα καθαρά, ἐκ δύο ἰωνικῶν· τὸ δ′ ὅμοιον τῷ α′· τὸ ε′ καὶ ϛ′ ἀναπαιστικὰ πενθημιμερῆ καθαρά· τὸ ζ′ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. λινοδέσμῳ σχεδί ᾳ: * ἤγουν στόλῳ νηῶν· ἐν ταύταις γὰρ ἔζευξε τὸν Ἑλλήσποντον ἑπταστάδιον ὄντα τὸ εὖ 〈ροσ〉 καὶ 〈γῆν ἐπιχέασ〉 πεζῇ δι’ αὐτοῦ τὸν στρατὸν ὁδεῦσαι πεποίηκεν.

sch 70 ἱστορία πόθεν ἐκλήθη Ἑλλήσποντος. * Ἀθάμας ἐκ Νεφέλης Ἕλλην καὶ Φρύξον πεποίηκε· τελευτησάσης δὲ τῆς Νεφέλης ἠγάγετο γυναῖκα Ἰνώ, ἥτις, Φρύξῳ καὶ Ἕλλῃ φθονοῦσα ὡς μητρυιά, ἐλυμήνατό τισι μηχαναῖς τὰ σπέρματα, ὡς μηκέτι σπειρόμενα οἷά τε ἐκ τῆς γῆς ἀναδίδοσθαι. λιμοῦ οὖν κατειληφότος τὴν χώραν οἱ ταύτης ἔνοικοι βουλόμενοι ἀπιέναι πρὸς τὸ μαντεῖον καὶ παρ’ ἐκείνου λύσιν μαθεῖν τοῦ κακοῦ, διεφθάρησαν ὑπὸ τῆς Ἰνοῦς χρήμασιν, ἵνα ἐκεῖθεν ἀναστρέφοντες μηδὲν ἄλλο λέγοιεν πρὸς Ἀθάμαντα ἢ ὡς Φρύξον τε καὶ Ἕλλην θῦσαι προστάττειν Ἀπόλλῳ εἰς ἀπαλλαγὴν τοῦ λιμοῦ. Ἀθάμαντος οὖν μεταπεμπομένου αὐτοὺς ἐκ τῶν ποιμνίων καὶ προστάττοντος κριὸν μετ’ αὐτῶν ἀγαγεῖν, ἐπειδὴ κριὸν παραλαβόντες ἔμελλον πορεύεσθαι, οὗτος παραδόξως αὐτοῖς τὸ κατ’ αὐτῶν ἐμήνυσε δρᾶμα. φεύγοντες οὖν ἐποχούμενοι τῷ κριῷ, ἐπεὶ θαλάττης ἐπέβησαν, ἡ μὲν Ἕλλη ὀλισθήσασα τοῦ κριοῦ πίπτει ἐντὸς τοῦ πελάγους, ἀφ’ ἧς Ἑλλήσποντος κέκληται· ὁ δὲ Φρύξος προσορμίσας λιμένι καὶ τελευτήσας τὸν βίον ἐκεῖ, Φρύξου λιμένα τοῦτον ἀπ’ αὐτοῦ καλεῖσθαι πεποίηκεν. αὐχένι πόντο υ: * διὰ τὸ εἶναι τοῦτον στενόν—ἑπταστάδιος γάρ—παρεικάζει αὐτὸν αὐχένι· ἄλλως τε καὶ ὅτι ἀρχὴ τῆς εἴσω θαλάττης ἐστίν.

sch 76 διχόθε ν: * ἐξ ἀμφοτέρων τῶν μερῶν· δέον δὲ εἰπεῖν ‘ἔκ τε γῆς καὶ θαλάττησ‘, εἰς μὲν τὸ ‘ θαλάττησ ‘ τὴν ἀκολουθίαν τοῦ λόγου τετήρηκεν, εἰς δὲ τὸ ‘γῆσ‘ ἐνήλλαξε· καὶ ἀντὶ τοῦ εἰπεῖν ‘γῆσ‘ ‘ πεζονόμοισ ‘ ἤτοι πεζοῖς εἶπε· πεζοὶ γάρ εἰσιν οἱ τὴν γῆν ὁδεύοντες. ἡμέτερον.

sch 81 κυάνεον δ ’ ὄμμασ ι: τῆς β′ ταυτησὶ στροφῆς τὰ κῶλα ϛ′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τὸ α′, τὸ β′, τὸ γ′, τὸ δ′, τὸ ε′ ἰωνικὰ ἀπ’ ἐλάττονος δίμετρα ἀκατάληκτα καθαρά, ἐκ δύο ἰωνικῶν· τὸ ϛ′ ὅμοιον ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ, καὶ ἐπιτρίτου β′. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. ἡμέτερον.

sch 93 δολόμητιν δ ’ ἀπάτα ν: τοῦτο ἐπῳδὸς εἶναί μοι δοκεῖ διὰ μέσου τεθεῖσα. ἔστι δὲ κώλων θ′· τὸ α′, τὸ β′, τὸ γ′, τὸ δ′ ἰωνικὰ ἀπ’ ἐλάττονος δίμετρα ἀκατάληκτα καθαρά· ἔχει δὲ τὸ μὲν πρῶτον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κῶλον τὸν δεύτερον πόδα πεντασύλλαβον, τὸ δὲ δʹ τὸν πρῶτον· τὸ εʹ ὅμοιον ἰωνικὸν ἡμιόλιον· τὸ ςʹ καὶ ζʹ ὅμοια δίμετρα καταληκτικά, τὸ μὲν ἐξ ἰωνικοῦ καὶ ἀναπαίστου, τὸ δὲ ἐξ ἰωνικοῦ καὶ δακτύλου· τὸ ηʹ ὅμοιον δίμετρον ἀκατάληκτον· τὸ δὲ θʹ ὅμοιον δίμετρον καταληκτικόν, ἐξ ἰωνικοῦ καὶ ἀναπαίστου. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος. δολόμητιν δ ’ ἀπάτα ν: εἰ γὰρ Πέρσαι τὰ ἐς πόλεμον θαυμαστοί, καὶ Ξέρξης τοσοῦτον πλῆθος κατὰ τῆς Ἑλλάδος ἐπήγαγε, ἀλλ’ οὐδεὶς οἶδε ποῖ τὸ πρᾶγμα προβαίη· θεοῦ γὰρ βουλήσει ἄλλοτε ἄλλως τὰ τῆς νίκης χωρεῖ· ὥστε καὶ τοὺς πολλοὺς ὑπ’ ὀλίγων ἂν καταπολεμουμένους θεάσαιο· διὸ καὶ ἡμεῖς ἐσμὲν ταραχῆς καὶ φροντίδος μεστοί. ‘φιλοφρόνωσ‘ ἔδει εἰπεῖν· πρὸς δὲ τὸ ὄνομα τοῦτο ἐπήνεγκεν.

sch 102 θεόθεν γά ρ: ἤγουν ἐξ ἀρχῆς εἱμαρμένον ἦν Πέρσαις παρὰ θεοῦ ἐν πολέμῳ τοὺς ἄλλους νικᾶν· αὕτη δὲ ἡ κατασκευὴ πρὸς τὸ ‘ ἀπρόσοιστος γὰρ ὁ Περσῶν στρατόσ ‘ ἐστιν. ἡμέτερον. θεόθεν γά ρ: τῆς τρίτης ταυτησὶ στροφῆς τὰ κῶλα ςʹ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τὸ αʹ καὶ βʹ ἰωνικὰ ἀπ’ ἐλάττονος δίμετρα καταληκτικά, ἐξ ἰωνικῶν καὶ ἀναπαίστων· τὸ γʹ καὶ δʹ ὅμοια ἰωνικὰ δίμετρα ἀκατάληκτα, ἐκ βʹ ἰωνικῶν· τὸ εʹ ὅμοιον ἰωνικὸν τρίμετρον καταληκτικόν, ἐκ δύο ἰωνικῶν ἀπ’ ἐλάττονος καὶ κρητικοῦ· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς δάκτυλον ἔχει ἀντὶ κρητικοῦ διὰ τὴν ἀδιάφορον· τὸ ςʹ χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου καὶ διιάμβου. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. ταῦτά μοι μελαγχίτω ν: τῆς δʹ ταυτησὶ στροφῆς τὰ κῶλα ςʹ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τὸ αʹ καὶ βʹ τροχαικὰ δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ Εὐριπίδεια· τὸ γʹ κώλου τμῆμα μονόμετρον βραχυκατάληκτον· ἔστι δέ γε ἀδιάγνωστον ποίου ἂν εἴη μέτρου διὰ τὸ ἐκ δύο βραχέων συγκεῖσθαι· τὸ δʹ καὶ εʹ ὅμοια τῷ αʹ καὶ βʹ· τὸ ςʹ ἀσυνάρτητον ἐκ δύο τροχαικῶν πενθημιμερῶν συγκείμενον.

sch 114 ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. δοκεῖ δέ μοι ὅτι, ὥσπερ τὸ ‘φεῦ‘ οὐχ ὑποπίπτει μέτρῳ βραχύ τι ὂν κώλου τμῆμα, οὕτω καὶ τὸ ‘ ὀά ‘, εἰ καὶ δισύλλαβον εἴη, διὰ τὸ βραχέα εἶναι ἀμφότερα. φασί τινες ὡς τὸ μὲν ‘ὀά‘ Περσικὸς θρῆνος, τὸ δὲ ‘οὐά‘ Λατινικός.

sch 116 ἡμέτερον. ἢ ‘τῷ φόβῳ, λέγε, τοῦ Περσικοῦ στρατεύματος ἀμ 〈ύ〉 σσεταί μοι ἡ φρήν‘, ἢ στίζων εἰς τὸ ‘ φόβῳ‘ πρὸς τὸ ‘ ὀά ‘ σύναπτε οὕτως· ‘ὀὰ ἕνεκα τοῦ Περσικοῦ στρατεύματοσ‘· ἰσοδύναμον γάρ ἐστι τῷ ‘φεῦ‘. στίζων εἰς τὸ ‘ τοῦδε ‘, τὸ ἑξῆς οὕτω λέγε· ‘ μὴ πόλις πύθητα ι , κένανδρον μέ γ ’ ἄστυ Σουσίδοσ ‘.

sch 118 ὃ δὲ λέγει τοιοῦτόν ἐστι· ‘μή τις πασῶν τῶν πόλεων πύθηται καὶ ἀκούσῃ τὰ Σοῦσα ἀνδρῶν ἔρημα γενόμενα‘, τουτέστι ‘μὴ γένοιτό ποτε ἀφανισθῆναι τὴν τῶν Περσῶν ἀρχήν· εἰ γὰρ ἔσται τοῦτο, καὶ τὸ Κισσίων πόλισμα ἐξ ἐναντίας θρῆνον ἐγερεῖ‘· Σοῦσα γὰρ καὶ Κίσσιον καὶ Ἐκβάτανα Περσικαὶ πόλεις, ἐν αἷς οἱ τῶν Περσῶν ἄρχοντες τὰ βασίλεια ἐποιοῦντο. ἡμέτερον. ἐπεὶ ἐν τοῖς ἀκριβεστάτοις τῶν ἀντιγράφων τὸ ‘ τοῦδε ‘ τῷ ἑξῆς κώλῳ συνημμένον εὕρηται, ὡς εἶναι οὕτω ‘τοῦδε μὴ πόλις πύθηται κένανδρον‘, οὕτω μοι δοκεῖ τοῦτο συντάττειν· ‘μὴ πύθηται καὶ ἀκούσῃ ἡ πόλισ‘, τὸ μέγα λέγων ἄστυ τῆς Σουσίδος τὸ κένανδρον τοῦδε τοῦ στρατεύματος, ἤγουν τὴν ἀπώλειαν καὶ τὸν ὄλεθρον· τοιοῦτο γάρ τι ὀφείλων εἰπεῖν, ‘ κένανδρον ‘ εἶπεν, ἐπειδή, ἀφανισθέντος τοῦ στρατοῦ, αὕτη κενὴ ἀνδρῶν ἔμελλεν ἔσεσθαι. ἢ πρὸς τὸ ‘ ἔσεται ‘ καὶ πρὸς τὸ ‘ ὀά ‘ στίξον, ἵνα πρὸς τὸ ‘ ἀπύων ‘ ἔξωθεν λαμβάνῃς ‘ἔσται‘ λογιζόμενος καθολικὸν τὸ ‘ γυναικοπληθὴς ὅμιλοσ ‘ διὰ πάσας τὰς ἐν Περσίδι γυναῖκας, ἢ πρὸς τὸ ‘ ἔσεται ‘ ὑπόστιξον, ἵν’ ᾖ ὁ γυναικοπληθὴς ὅμιλος μόναι αἱ ἐν Κισσίοις γυναῖκες· εἰ δέ τις εἴποι ὡς ‘γυναικοπληθοῦς ὁμίλου ἀπύοντοσ‘ ἔδει εἰπεῖν, φαμὲν ὡς, ἐπειδὴ ὁ τῶν γυναικῶν ὅμιλος μέρος ἦν τοῦ Κισσίων πολίσματος, διὰ τοῦτο ‘ γυναικοπληθὴς ὅμιλοσ ‘ εἶπεν· εὕρηται δὲ αὕτη ἡ σύνταξις οὐκ ἐν ποιηταῖς μόνον, ἀλλὰ καὶ ἐν Θουκυδίδῃ.

sch 125

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡμέτερον. πᾶς γὰρ ἱππηλάτα ς: τῆς ε′ ταυτησὶ στροφῆς τὰ κῶλα ζ′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τὸ α′ τροχαικὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλικόν—ἐντεῦθεν δὲ δῆλον ὅτι καὶ ἴαμβον δέχεται τὰ τροχαικά· —τὸ β′ ὅμοιον δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς Εὐριπίδειον· τὸ γ′ ὅμοιον τὸν τρίτον ἔχον πόδα ἴαμβον· τὸ δ′ ὅμοιον δίμετρον ὑπερκατάληκτον ἐξ ἰάμβου ἀρχόμενον, εἰ δὲ βούλει, ἀντισπαστικὸν ἐξ ἀντισπάστου, διτροχαίου καὶ συλλαβῆς· τὸ ε′ ὅμοιον οἵου βούλει μέτρου· τὸ ς′ δακτυλικὸν πενθημιμερές, εἰ δὲ βούλει, χοριαμβικὸν δίμετρον καταληκτικόν, ἐκ χοριάμβου καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον· τὸ ζ′ ὅμοιον τῷ πρώτῳ ἰθυφαλικὸν καθαρόν. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. καταχρηστικῶς εἶπε τὸ ‘ πρῶνα ‘· πρὼν γὰρ κυρίως ἡ τῶν ὀρῶν ἐξοχή· ἐνταῦθα δὲ διὰ τοῦτο εἶπε, διὰ τὸ εἴναι αὐτὸν ἐξοχὴν τῆς ἔξω θαλάσσης πρὸς τὴν εἴσω, καὶ οἱονεὶ αὐχένα· ἐθεράπευσε δὲ διὰ τοῦ εἰπεῖν ‘ ἅλιον ‘. [10]

sch 135 τοῦτο ὀρθόπτωτόν ἐστι· δέον γὰρ εἰπεῖν ‘Περσίδων ἑκάστη λείπεται μονόζυξ πολύκλαυστος ἐν φιλάνορι πόθῳ‘, ἐξ ὀρθοῦ ἐπήνεγκε τὴν σύνταξιν, καὶ ἀντὶ τοῦ εἰπεῖν ‘ἀκροπενθὴσ‘ πρὸς τὸ ‘ἑκάστη‘, οὕτω γὰρ ὁ λόγος ἀπῄτει, πρὸς τὸ ‘ Περσίδεσ ‘ ἔταξεν. ἡμέτερον. [5]

sch 140 ἀλ λ ’ ἄγε Πέρσα ι: πληρώσας τὰς στροφὰς καὶ ἀντιστροφὰς ἐπάγει ἐν ἐκθέσει σύστημα συμβουλευτικὸν κατὰ περικοπὴν ἀνομοιομερές, κώλων ἀναπαιστικῶν ι′, ὧν τὸ β′, τὸ ζ′ καὶ τὸ θ′ μονόμετρα, τὰ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ι′ δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος. δορυκράνο υ: ἢ τῆς ἐκ κρανίου ξύλου οὔσης· τοῦτο γὰρ ἰσχυρότατον καὶ στεγανώτατον πρὸς τὸ ποιῆσαι δόρατα· ἢ ἐκ τοῦ εἰπεῖν ‘ δορυκράνου λόγχησ ‘ ἐδήλωσεν ἐν ταὐτῷ δύο, δόρυ καὶ κράνος· τὸ γὰρ ‘ δορυκράνου λόγχης ἰσχὺσ ‘ τοιοῦτόν ἐστιν ὡς ἂν εἰ ἔλεγεν ‘ἄνδρες κράνει καὶ δόρατι ἰσχύοντεσ‘. [5]

sch 150 ἡμέτερα. ἀλ λ ’ ἥδε θεῶ ν: σύστημα ἕτερον κατὰ περικοπὴν κώλων ὁμοίων ἀναπαιστικῶν ε′· ὧν τὰ μὲν δ′ δίμετρα ἀκατάληκτα, τὸ δὲ ε′ καταληκτικὸν ἤτοι ἑφθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος. ὦ βαθυζώνω ν: σύστημα ἕτερον ἐπιφθεγματικὸν ὀνομαζόμενον ἐν ἐκθέσει στίχων τροχαικῶν τετραμέτρων καταληκτικῶν δ′· ὧν τελευταῖος καὶ πάσης τῆς τοῦ χοροῦ οἰκονομίας ‘ εἴ τι μὴ δαίμων παλαιὸς νῦν μεθέστηκε στρατῷ ‘. [5]

sch 155 ἐπὶ τῷ τέλει κορωνὶς ἑτέρων εἰσιόντων ὑποκριτῶν. ταῦτα δὴ λιποῦσ α: ἡ συστηματικὴ αὕτη περίοδος στίχων ἐστὶν ὁμοίων τροχαικῶν τετραμέτρων καταληκτικῶν ιζ′· ὧν τελευταῖος ‘ εὐμενεῖς γὰρ ὄντας ἡμᾶς τῶνδε συμβούλους καλεῖσ ‘.

sch 159 ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. φοβοῦμαι, φησί, μὴ ὁ μέγας πλοῦτος κονίσας καὶ ταράξας τὸ ἔδαφος ἐν ποδὶ ἀνατρέψῃ καὶ ἀπολέσῃ τὸν ὄλβον καὶ τὴν εὐδαιμονίαν τῶν Περ 〈σῶν〉 , ὃν μετὰ τῶν θεῶν μέγαν καὶ θαυμαστὸν Δαρεῖος ἐποίησε. [5]

sch 163 σωματοποιεῖ δὲ ἐνταῦθα τὸν πλοῦτον· ὃ δὲ λέγει τοιοῦτόν ἐστι· φοβοῦ 〈μαι〉 μὴ ἡ μεγίστη τῶν Περσῶν εὐδαιμονία αὐτὴ ὑφ’ ἑαυτῆς ἀνατραπείη καὶ ἀφανισθείη, ὅθεν διπλῆν κατὰ νοῦν στρέφω φροντίδα. ἔστι δὲ αὕτη τίς; μήτε τὸν πλοῦτον περὶ πλείστου ποιεῖσθαί τινα ὃς τὸν ὑπερμαχοῦντα οὐκ ἔχει—τοῦτο γάρ ἐστι τὸ ‘ ἀνάνδρων ‘—, μήτε τοῖς ἀχρημάτοις ἤτοι τοῖς πένησι λάμπειν φῶς τοσοῦτον ἤτοι εὐδαιμονίαν, ὅση δύναμις πάρεστι· τουτέστιν οὔτε ὁ πλοῦτός ἐστι περισπούδαστος ὁ μὴ ἀσφαλής, οὔτ’ αὖ τοὐναντίον μακαριστοί εἰσιν οἱ πένητες, ἔχοντες μὲν ἰσχὺν τὴν αὑτῶν, χρημάτων δὲ ἀπολειπόμενοι. λέγει δὲ ταῦτα διὰ τὸ μηδὲν ὄφελος εἴναι ἔτι τῶν τοσούτων τῆς τῶν Περσῶν ἀρχῆς θησαυρῶν, εἰ Ξέρξης ἡττηθείη, πάντας Πέρσας μεθ’ ἑαυτοῦ ἐπαγόμενος, καὶ τῆς Περσίδος μετὰ γυναικῶν καὶ γερόντων ἀπολειφθείσης. δέον δὲ οὕτως εἰπεῖν ‘μήτε χρημάτων ἀνάνδρων πλῆθός τινα σέβειν, μήτε μακαρίζειν τοὺς ἀχρημάτουσ‘ ἐνήλλαξε καὶ ἀντὶ τοῦ εἰπεῖν ‘μακαρίζειν‘ ‘ λάμπειν ‘ εἶπεν. ἡμέτερα. [20]

sch 166 δέον εἰπεῖν ‘μήτε τὸ πλῆθος τῶν χρημάτων τιμᾶν τινα οἷς οὐκ ἔνεστι καὶ πλῆθος ἀνδρῶν φρουρούντων ταῦτα, μήτε τοὺς ἀχρημάτους καὶ πένητας ὁρᾶν τὸ φῶς ὅση τούτοις πρόσεστι δύναμισ‘, ὁ δὲ τὸ ‘ σθένοσ ‘ πρὸς τὸ ‘ φῶσ ‘ ἔτρεψεν ἐμψυχοποιῶν οἷον τὸ φῶς· τοῦτο δ’ ὅμοιόν ἐστι τῷ παρὰ Σιμοκάτῳ· ὃ γὰρ ἐκεῖνος περὶ τῶν δανειζομένων φησί, μὴ τὰς ἀκτῖνας τὰς ἡλιακὰς ἐλευθέρως προσβλέπειν μηδὲ τὸν ὑπὲρ γῆς ἀέρα προσηνῶς ἀναπνεῖν, τοῦτο οὗτος περὶ τῶν πενήτων εἴρηκεν, ὡς οὐ λάμπει τούτοις τὸ φῶς ὅση τούτῳ πρόσεστι δύναμις· ἀμφότεροι γὰρ ὑπὸ δέους κρυπτόμενοι οὐ καθαρῶς τοῦ φωτὸς ἀπολαύουσιν· οἱ μὲν γὰρ τοὺς δανειστάς, οἱ δὲ τούς τε δεσπότας καὶ εἰσπράττοντας δεδιότες κάτω νενεύκασιν ἀμυδρῶς τὴν ἀκτῖνα τοῦ ἡλίου προσβλέποντες. πολλοῖς μὲν αἰε ί: ἡ μονοστροφικὴ αὕτη περίοδος στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων λθʹ· ὧν τελευταῖος ‘ σωθεὶς δ ’ ὁμοίως τῇσδε κοιρανεῖ χθονόσ ‘.

sch 176 ἐπὶ τῷ τέλει παράγραφος. Ἄνδρων ὁ Ἀλικαρνασεύς φησι τὸν Ὠκεανὸν γήμαντα Πομφολύγην καὶ Παρθενόπην ἐκ μὲν Παρθενόπης σχεῖν Εὐρώπην, ἐκ δὲ Πομφολύγης Ἀσίαν καὶ Λιβύην, ὅθεν ὠνομᾶσθαι τὰς ἠπείρους.

sch 189 ἡμέτερον. ‘ ἀλλήλαισ ‘ γράφε καὶ μὴ ‘ἀλλήλοισ‘ ἀρσενικῶς· οὐ γὰρ διὰ τὸ ‘τούτω‘ ἀρσενικὸν ἀντὶ τοῦ ‘αὗται‘ ῥηθὲν Ἀττικῶς χρὴ καὶ τοῦτο ἀρσενικῶς ἐκφέρειν· ἐπὶ τῶν ἄρθρων γὰρ μόνον καὶ τῶν ἀντωνυμιῶν τοῦτο ποιεῖν εἰώθασιν Ἀττικοί, οὐ μὴν καὶ ἐπὶ τῶν ὀνομάτων εἰ μή πως σπανίως δι’ ἀνάγκην· ‘τὼ χεῖρε‘ γάρ φασι καὶ οὔτε ‘τοῦ σάλπιγγοσ‘, καὶ ‘τώδε τὼ κασι 〈γνή〉 τα‘ καὶ ‘τούτω‘ καὶ τὰ τοιαῦτα. διὰ τοῦτο ᾤκτειρε τὸν Ξέρξην Δαρεῖος διὰ τὸ καὶ αὐτὸν εἰς Ἑλλάδα μετὰ στρατοῦ ἐλθεῖν καὶ ἡττηθῆναι, καὶ ταῦτα μυριοπλάσιον πλῆθος ἔχοντα ἢ πρώην ἐκεῖνος· Δαρεῖος μὲν γὰρ ἐν τῇ πρώτῃ στρατείᾳ οὐκ ἦν ἀλλὰ στρατηγὸν αὐτῆς τὸν Δάτιν ἔπεμψε, Ξέρξης δὲ οὐκ ἠνέσχετο ἕτερον πέμψαι ἀλλ’ αὐτὸς παρῆν, ὅθεν καὶ ἡττηθεὶς μείζω τὴν αἰσχύνην ἐκτήσατο.

sch 201 Καλλιρρόη ὄνομα πηγῆς, ἀφ’ ἧς οἱ μέλλοντες θύσειν τὰς χεῖρας ἐκάθαιρον· φασὶ γοῦν διὰ τὸ αἰτίαν εἶναι καθαρμοῦ Καλλιρρόην αὐτὴν ὠνομᾶσθαι· λέγει δὲ ἐνταῦθα Ἄτοσσα καλλιρρόου πηγῆς ἄψασθαι, ἢ ὅτι ἐν τῇ Περσίδι ἦν αὕτη ἡ πηγή, ἢ ὡς καθαρὸν ἔχουσαν ὕδωρ καλλίρροον ἐκάλεσε τὴν πηγήν, ἀφ’ ἧς τὰς χεῖρας ἐνίψατο. ἐν ᾧ τὰ θύματα ἔσφαζον ἐκαλεῖτο βωμός, τετραγωνοειδὴς ὢν τόπος μέσον τοῦ ἱεροῦ· ἐσχάρα δὲ ὁ λάκκος ἐν ᾧ τὰ ἱερεῖα ἔκαιον.

sch 204 πέλανος οὐ μόνον ὁ ῥύπος, ὡς Εὐριπίδης φησὶν ‘ἀφρώδη πέλανον‘ ἤτοι τὸν ἐξ ἀφροῦ ῥύπον, ἀλλὰ καὶ θῦμά τι. ἡμέτερον.

sch 215 οὔ σε βουλόμεσθ α: αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶ τροχαικῶν τετραμέτρων καταληκτικῶν λδʹ· ὧν τελευταῖος ‘ εἰ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν ‘. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει κορωνὶς ἑτέρου εἰσιόντος ὑποκριτοῦ. οὔ σε βουλόμεσθ α: οὐκ ἐθέλομεν διακρῖναι τὸ ὄναρ εἴτε χρηστόν ἐστιν εἴτε ἀπευκτέον· ἐὰν γὰρ δυστυχίας σημαντικὸν εἴπωμεν εἶναι, λυπήσομέν σε καὶ ἐμβαλοῦμεν εἰς φόβον ἀγωνιῶσαν ὑπὲρ τοῦ παιδὸς μή τι κακόν γε πάθῃ· ἐὰν δὲ χρηστὸν καὶ λυσιτελὲς αὐτὸ διακρίνωμεν, θρασυνοῦμέν σε καὶ ἀμελῆσαι ποιήσομεν τῶν θεῶν· διὸ τούτους ἱκετεύουσα εὔχου τὰ λῷονα. κρίνομεν δὲ καὶ λογιζόμεθα περὶ τῶνδε ὧν ἐθεάσω κατ’ ὄναρ, εἰ πρὸς τοὺς θεοὺς ἀναθήσεις καὶ χοὰς τῷ σῷ πόσει ποιήσεις, καλῶς τούτους τελεῖν σοι κατὰ πάντα τρόπον ταυτί· εἴτε γὰρ χρηστά ἐστι ταχέως τελέσουσιν, εἴτ’ αὖ τοὐναντίον, ἀλεξίκακοι γένωνται ἐξιλεωθέντες θυσίαις τε καὶ δεήσεσι ταῖς σαῖς.

sch 225bis εἰποῦσα Ἄτοσσα ὡς ἐπεθύμει Ξέρξης Ἀθήνας ἑλεῖν, ἐπειδὴ ὁ χορὸς ἔφη πρὸς αὐτὴν ‘ναί, ἐπεθύμει· εἰ γὰρ Ἀθήνας εἷλε, πᾶσα ἂν ἐγεγόνει ὑπήκοος αὐτῷ ἡ Ἑλλάσ ‘, νῦν αὐτὴ πάλιν φησίν· ‘οὕτω πολὺν στρατὸν Ἀθηναῖοι ἔχουσιν, ὡς ἀνάλωτον εἶναι τὴν πόλιν αὐτῶν καὶ τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτοὺς καταγωνισάμενον καὶ πάντας ἂν ἀνθρώπους ὑπὸ χεῖρα λαβεῖν;‘ ἐπειδὴ ἡ αἰχμὴ ἐπὶ λόγχης λέγεται, διὰ τοῦτο ‘ τοξουλκὸσ ‘ εἶπεν ἐμφαίνουσα διὰ τούτου τὰ τόξα. [5]

sch 245 ἐπειδὴ τοιούτους αὐτοὺς εἶναι λέγεις, δεινὰ τοῖς τεκοῦσι λέγει ς· τουτέστι φόβον ἐμβάλλεις πατράσι τε καὶ μητράσι τῶν ἀπελθόντων ἐκεῖσε παίδων φροντίσαι μή τι πάθωσιν. ὁ τοῦδε τοῦ ἀνδρὸς δρόμος Περσικός ἐστι· τοῦτο γὰρ δηλοῖ τὸ ‘ Περσικὸν πρέπει μαθεῖν ‘· τουτέστιν ἐκ Περσῶν ἐστι τῶν εἰς Ἑλλάδα ἐστρατευκότων οὗτος ὁ ἄγγελος πρὸς ἡμᾶς ἰὼν καὶ φέρων ἡμῖν κλύειν καὶ ἀκούειν σαφές τι πρᾶγος καὶ πρᾶγμα ἐσθλὸν ἢ κακό ν. [5]

sch 249 ἡμέτερον. ὦ γῆς ἁπάση ς: σύστημα προκαταστατικὸν καὶ οἷον προῳδὸς τῶν ἑξῆς ἀλλοιοστρόφων συστημάτων, στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ζʹ. ἐπὶ τῷ τέλει παράγραφος. διὰ τοῦτο εἶπε λιμένα πλούτου διὰ τὸ τοὺς πλέοντας ἐν λιμένι καταφεύγειν καὶ σῴζεσθαι· τοιοῦτος δὲ καὶ ὁ πλοῦτος τοὺς ἔχοντας αὐτὸν ἐνδόξους ποιεῖ καὶ φυλακὴν αὐτοῖς ἐντίθησιν.

sch 256 ἡμέτερον. ἄν ι ’ ἄνι α: τὰ τοιαῦτα εἴδη καλεῖται, ὡς εἴρηται, ἀλλοιόστροφα· ἔστι δὴ τῆς παρούσης στροφῆς τὰ κῶλα δʹ· τὸ αʹ χοριαμβικὸν δίμετρον καταληκτικόν, ἐκ χοριάμβου ἑξασυλλάβου καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον ἢ χορείου· τὸ βʹ ἰωνικὸν ἀπ’ ἐλάττονος δίμετρον καταληκτικόν, ἐξ ἰωνικοῦ καὶ βακχείου· τὸ γʹ ἀντισπαστικὸν καθαρὸν ἡμιόλιον· τὸ δʹ ἰωνικὸν ἡμιόλιον ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ ἀπ’ ἐλάττονος καὶ τροχαίου. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ συνήθως. σύστημα κατὰ περικοπὴν στίχων ἰαμβικῶν βʹ· εἶτα παράγραφος. [5]

sch 262 ὄντως διὰ τοῦτο μέχρι τοῦ παρόντος καιροῦ βεβιώκαμεν, ἵνα τοιούτων συμφορῶν ἀκουσταὶ γινώμεθα. ἀναγνωστέον δὲ ἢ κατὰ στιγμὴν καὶ ὑποστιγμὴν ἢ κατὰ στιγμὴν μόνην· οὕτω γάρ ἐστι βέλτιον. ἦ μακροβίοτο ς: ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς ἧς ἡ ἀρχὴ ‘ ἄν ι ’ ἄνια κακά ‘· καὶ αὕτη γὰρ κώλων ἐστὶν ὁμοίων ἐκείνῃ δʹ· τὸ μέντοι πρῶτον κῶλον οὐχ ἑξασύλλαβον ἔχει τὸν πρῶτον πόδα ἀλλὰ πεντασύλλαβον. ἐπὶ τῷ τέλει παράγραφος μόνη. ἕτερον σύστημα κατὰ περικοπὴν στίχων ὁμοίων βʹ· εἶτα παράγραφος. [5]

sch 268 ἡμέτερα. ὀττοττοτο ῖ: ἡ βʹ αὕτη στροφὴ κώλων ἐστὶ δʹ· τὸ αʹ χοριαμβικὸν ἡμιόλιον ἐς ἐπιτρίτου τρίτου καὶ ἰάμβου· τὸ βʹ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου πεντασυλλάβου καὶ διιάμβου· τὸ γʹ περιοδικὸν δίμετρον ὑπερκατάληκτον—τοιοῦτο γάρ ἐστι τὸ τῆς ἀντιστροφῆς, —ἐκ διτροχαίου πεντασυλλάβου, διιάμβου καὶ συλλαβῆς· τὸ δʹ ὅμοιον δίμετρον καταληκτικόν, ἐκ διτροχαίου καὶ διιάμβου καταληκτικοῦ ἤτοι ἀμφιβράχεος καὶ βακχείου. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ συνήθως. σύστημα στίχων βʹ· εἶτα παράγραφος. [5]

sch 274 ὀττοττοτο ῖ: ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς ἧς ἡ ἀρχὴ ἡ αὐτή· ἔστι δὲ καὶ αὕτη κώλων δʹ· ἔχει δὲ τὸ βʹ κῶλον τὸν μὲν πρῶτον πόδα ἑξασύλλαβον, τὸν δὲ βʹ πεντασύλλαβον· τὸ δὲ δʹ τὸν πρῶτον πόδα ἐπίτριτον τέταρτον, τὸν δὲ βʹ ἀμφίβραχυν. ἐπὶ τῷ τέλει παράγραφος μόνη. διπλάκεσσι ν: ἤτοι διπλαῖς ἀκταῖς Σαλαμῖνος καὶ τῆς ἀντικρὺ ταύτης γῆς· ἢ ταῖς διπλῶς ἔνθα καὶ ἔνθα φερομέναις στροφαῖς τῶν κυμάτων. [5]

sch 278 σύστημα στίχων βʹ· εἶτα παράγραφος. ἴυ ζ ’ ἄποτμο ν: ἡ τρίτη αὕτη στροφὴ κώλων ἐστὶ δʹ· τὸ αʹ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἐκ διιάμβου καὶ κρητικοῦ· τὸ βʹ ὅμοιον δίμετρον ἀκατάληκτον, ἐκ διιάμβου καὶ ἐπιτρίτου τρίτου κατὰ συνίζησιν· τὸ γʹ ὅμοιον ἐξ ἐπιτρίτου τρίτου, διιάμβου καὶ συλλαβῆς, ὑπερκατάληκτον· τὸ δʹ ὅμοιον τῷ αʹ, ἐξ ἐπιτρίτου τρίτου καὶ ἀμφιβράχεος ἢ βακχείου, εἰ δὲ βούλει χοριαμβικόν· τοιοῦτον γὰρ δοκεῖ τὸ τῆς ἀντιστροφῆς. [5]

sch 280 ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ συνήθως. σύστημα στίχων βʹ· εἶτα παράγραφος.

sch 284bis ὦ πλεῖστον ἔχθο ς: ἤτοι ὦ Σαλαμὶς καὶ πρὸς μόνην τὴν ἀκοὴν δυσχέρειαν φέρουσα ἔμοιγε καὶ σφόδρα μισητή. στυγναὶ δ ’ Ἀθᾶνα ι: ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς ἧς ἡ ἀρχὴ ‘ ἴυ ζ ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄποτμον ‘· καὶ αὕτη γὰρ κώλων ἐστὶ δ′· ἔχει δὲ τὸ α′ κῶλον κατὰ τὸν β′ πόδα συνίζησιν· τὸ β′ τὸν α′ πόδα δισπονδεῖον, τὸν δὲ β′ ἐπίτριτον α′ ἢ ἀντίσπαστον· τὸ δὲ γ′ τὸν β′ πόδα ἀντίσπαστον.

sch 286 ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. στυγνότητα καὶ λύπην αἱ Ἀθῆναι φέρουσι τοῖς πολεμίοις καὶ πρὸς μνήμην αὐτοῖς ἰοῦσαι μήτοιγε δὴ εἰς πεῖραν ἰοῦσιν αὐτῶν. τὸ ‘ πολλὰσ ‘ νοητέον ἢ ἀντὶ τοῦ ‘πόλεισ‘ ἢ ἀντὶ τοῦ ‘μητέρας καὶ γαμετάσ‘· ὅπερ σαφηνίζεται ἐκ τοῦ ‘ εὔνιδασ ‘ καὶ ἐκ τοῦ ‘ ἀνάνδρουσ ‘, τοῦ μὲν ‘ εὔνιδασ ‘ πρὸς τὸ ‘μητέρασ‘ νοουμένου ἀντὶ τοῦ ‘ἐστερημένας τῶν οἰκείων παίδων‘, τοῦ δὲ ‘ ἀνάνδρουσ ‘ πρὸς τὸ ‘γαμετάσ‘· ἅτινα νοοῦνται καὶ εἰ τὸ πολλὰσ ‘ ἀντὶ τοῦ ‘πόλεισ‘ ἐκλάβῃς, τὸ δὲ ‘ ἔκτισαν ‘ ἀντὶ τοῦ ‘ἐποίησαν‘ —‘κτίζομεν‘ γὰρ ‘τεῖχοσ‘ ἀντὶ τοῦ ‘ποιοῦμεν‘ λέγομεν—· τὸ δὲ ‘Περσίδων‘, εἰ μὲν τὸ ‘ πολλὰσ ‘ πρὸς τὸ ‘πόλεισ‘ εἴπῃς, ἀντὶ τοῦ ‘Περσικῶν πόλεων‘ νοήσεις· εἰ δὲ πρὸς τὸ δεύτερον, ἀντὶ τοῦ ‘γυναικῶν.

sch 288 ‘ ἡμέτερον.

sch 290 σιγῶ πάλαι δύστηνο ς: αἱ ἑξῆς συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σμβ′· ὧν τελευταῖος ‘ μὴ καί τι πρὸς κακοῖσι πρόσθηται κακόν ‘. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν καὶ εἰσιόντος τοῦ χοροῦ. τὸ μήτε λέξα ι: μὴ νοήσῃς ἐνταῦθα ἔξωθεν κατα , ὥς τινες.

sch 292 εἰποῦσα γὰρ ὡς ὑπερβάλλει ἥδε ἡ συμφορά, ἐπήνεγκε τὴν ὑπερβολὴν ἥτις ἐστὶ ‘τὸ μήτε λέξαι μήτ’ ἐρωτῆσαι τὰ πάθη‘· ἔστι δὲ ὅμοιον κἀκεῖνο ὅ φησι Προμηθεὺς πρὸς τὸν χορὸν λέγων· ‘ ἐπεὶ προθυμεῖσ θ’ , οὐκ ἐναντιώσομαι τὸ μὴ οὐ γεγωνεῖν ‘. τὸ ‘ καταστάσ ‘ ἀντὶ τοῦ ‘εἰς κατάστασιν ἐλθών‘· ἐθρήνει γάρ.

sch 303 Σιλήνια αἰγιαλός ἐστι Σαλαμῖνος οὕτω καλούμενος· λέγεται δὲ καὶ Τροπαία ἄκρα ὡς Φιλόξενος ἐν τῷ Περὶ λιμένων ἱστορεῖ. τοῦτο ἀδολεσχία· πᾶσα γὰρ νῆσος ὑπὸ θαλάσσης πλησιάζεται ἢ πλήττεται· λέγει δὲ τὴν Σαλαμῖνα· τὸ δὲ ‘ πολεῖ ‘ ἀντὶ τοῦ ‘συστρέφεται‘· θανόντος γὰρ περὶ τοῦτον τὸν τόπον, ἐνταῦθα ἡ ψυχὴ αὐτοῦ ἐμφιλοχωρεῖ.

sch 310 κύρισσο ν: προσέκρουον· πεσόντες γὰρ ἡμιθανεῖς ποσί τε καὶ κεφαλῇ ἐστροβοῦντο· εἴρηται δὲ τὸ ‘ ἐκύρισσον ‘ ἐκ μεταφορᾶς τῶν ἀλόγων ζῴων τῶν τυπτόντων τοῖς κέρασιν ἄλληλα. διὰ τὸ ὀλίγους πάνυ λευκοὺς εὑρίσκεσθαι ἵππους, τοὺς δὲ ἄλλους ἐκ τῶν ἑτέρων χρωμάτων ὄντας, ἃ πρὸς τὸ μέλαν μᾶλλον ᾠκείωται, διὰ τοῦτο ‘ μελαίνης ἵππου ‘ φησίν.

sch 318 ἀξίωμα παρὰ Πέρσαις τὸ ‘ μάγοσ ‘· ἔλεγον δὲ οὕτω τοὺς ἀστρολόγους. μέτοικο ς: ἐν ἄλλῃ γὰρ πόλει γεννηθεὶς ἐν ταύτῃ μετῴκησεν.

sch 325 οὐ μά λ ’ εὐτυχῶ ς: ἀλλὰ δυστυχῶς καὶ παρ’ ἀξίαν· οὐ γὰρ ἔδει τὸν τηλικοῦτον τὴν ὥραν ἀθλίως ἀπολωλότα κατὰ γῆς ἐρρίφθαι. πλεῖστον πόνο ν: ἤγουν ἀνδρείως ἀγωνισάμενος καὶ δυσκαταγώνιστος δόξας τῷ πολέμῳ.

sch 345 τὸ ‘ ὧδε ‘ καὶ ἀντὶ τοῦ ‘ἐνταῦθα‘ καὶ ἀντὶ τοῦ ‘οὕτωσ‘ νόει. ἡμέτερον.

sch 346 τῶν Ἀθηναίων ἐπιβαρύνας ζυγά. ἤτοι τὰς πλάστιγγας, παρὰ τὸ Ὁμηρικόν· ‘ ῥέπε δ ’ αἴσιμον ἦμαρ Ἀχαιῶν ‘. εἰ γὰρ θεοὶ Ἀθηναίους σῴζουσιν, ἀπόρθητος ἐσαεὶ τούτων ἂν εἴη ἡ πόλις, ἐπεὶ ἀσφαλής ἐστι φυλακὴ ἡ τῶν θεῶν βοήθεια.

sch 362 τὸν θεῶν φθόνο ν: τὴν νέμεσιν ἣν τοῖς μεγάλα φρονοῦσιν ἐπάγουσιν ἀπροσδοκήτως καταβάλλοντες αὐτούς. ἡμέτερον.

sch 371 ‘ κρατὸσ ‘ χρὴ γράφειν ἐνταῦθα καὶ οὐ ‘ κράτοσ ‘· τὸ μὲν γὰρ ἔχει μακρὸν τὸ α , ὡς ἐν πολλοῖς εὕρηται· τὸ δὲ ‘κράτοσ‘, βραχύ. νεὼς μακρᾶς: ἢ τῆς πολλῆς, ἢ τῶν ἰδιωτικῶς λεγομένων κατέργων· ἃ ἰδίως μακρὰ πλοῖα καλοῦσιν.

sch 399

οὕτως εἰώθασι σχηματίζειν τὸ στρατόπεδον, κέρας μὲν δεξιὸν τιθέντες καὶ ἀριστερὸν ἐξ ἑκατέρων τῶν μερῶν, τὸ μεταξὺ δὲ μέτωπον καλοῦντες, τὸ δὲ ὄπισθεν οὐραγίαν, ἣν ἰδιωτικῶς σάκαν καλοῦσιν. δέον οὕτως εἰπεῖν ‘εὐθὺς δὲ ναῦς ἐν νηὶ ὥρμησεν‘, ὁ δὲ ‘ ἔπαισεν ‘ εἶπεν· ἐπειδὴ γὰρ ἡ ὁρμὴ αὐτῆς ἐπὶ τύψει καὶ συγκρούσει νηὸς ἑτέρας ἐγίνετο, διὰ τοῦτο ‘ἔπαισεν‘ εἶπε· χαλκήρη δὲ στόλον λέγει τὴν ὁρμὴν ἣν μετὰ σιδήρου ἐποιεῖτο· τὰ γὰρ μακρὰ πλοῖα ἔμπροσθεν ἔχουσιν ὥσπερ αἰχμὴν ἀπὸ σιδήρου, δι’ ἧς 〈τοῖσ〉 τῶν πολεμίων πλοίοις ἐπιφερόμενα θραῦσιν ἐργάζεται.

sch 435 τὸ τότε συμβὰν τοῖς Πέρσαις κακὸν διηγούμενος οὐδέπω τὸ ἥμισυ διηγησάμην· ἀλλὰ τοσοῦτόν ἐστι τὸ λοιπὸν τῆς διηγήσεως, ὡς δὶς εἶναι τοσοῦτον· νόει οὖν τὸ ‘ μεσοῦν ‘ ἢ ἀπαρέμφατον ἢ οὐδέτερον. τὴν Ψυτταλίαν φησίν, ἥτις διέχει Σαλαμῖνος σταδίοις πέντε· ἐν ταύτῃ φυγόντες οἱ ἡγεμόνες τῶν Περσῶν ὑπ’ Ἀθηναίων ἀπώλοντο.

sch 448 ὁ φιλόχορος, ὁ τῇ μουσικῇ χοροὺς ἱστάς· τοιοῦτος γὰρ ὁ θεός· ναὸς δὲ ἦν τούτου ἐνταῦθα παρ’ αἰγιαλῷ. τὸ ‘ ἐκσῳζοίατο ‘ πρὸς τὸ ‘ νεῶν ‘ σύναπτε.

sch 458 ὥστ’ ἀμηχανεῖν αὐτοὺς τοὺς Ἕλληνας δηλονότι ὑπὸ τῶν ἐκεῖ Περσῶν ποτὲ μὲν λίθοις ποτὲ δὲ ὀϊστοῖς αὐτοὺς βαλλόντων. τὸ ἄντικρυς Σαλαμῖνος ὄρος λέγει τὸ Αἰγάλεον, ὥς φησιν Ἡρόδοτος.

sch 472 ἔψευσας φρενῶ ν: ψευσθῆναι ἐποίησας τῶν λογισμῶν ἐλπίζοντας ἀκονιτὶ πᾶσαν τὴν Ἑλλάδα αἱρήσειν καὶ μηδένα αὐτοῖς εἰς ὄψιν ἐλθεῖν μὴ ὅτι μαχέσασθαι. πικρὰν τιμωρία ν· βουλόμενος γὰρ Ἀθηναίους ὑπὲρ πατρὸς τιμωρήσασθαι, αὐτὸς μᾶλλον κεκόλασται.

sch 480 ναῶν δ έ: οὗτος ὁ ‘ δέ ‘ σύνδεσμος συνάφειά ἐστι πρὸς τὴν ἄνω διήγησιν αὐτοῦ τοῦ ἀγγέλου, εἰ καὶ διὰ μέσου ἡ Ἄτοσσα ἀπεκλαύσατο τὴν τῶν Περσῶν δυστυχίαν. πέδον Ἀχαιίδος ἡ Μονεμβασία ἡ πρὶν λεγομένη Δωρίς.

sch 492 ἔστι καὶ ἐν Μακεδονίᾳ πόλις Μαγνησία, ὥς φησι Δημοσθένης, περὶ τὸν Ὄλυμπον. ἡμέτερον.

sch 493 τὸ ‘Ἀξειός‘ διφθογγίζεται παρὰ πολλοῖς ὡς καὶ τὸ ‘Πηνειός‘ καὶ ‘Ἀλφειός‘ καὶ ‘Σπερχειός‘ καὶ τὰ τοιαῦτα. ὅτι Θεσσαλονίκη καὶ Ἀξειὸς καὶ Βέρροια καὶ τὰ περὶ αὐτὰ ἐν Μακεδονίᾳ κεῖνται, οὐκ ἐν Θετταλίᾳ, ὡς Πτολεμαῖος ἀναγράφει ἐν τῇ Γεωγραφίᾳ· Θετταλίαν γὰρ τὰ μετὰ τὸν Ὄλυμπόν φασι μέρη, ἐν οἷς Φθία καὶ Λάρισσα καὶ Δημητριὰς καὶ Πηνειός. Βόλβη λίμνη Μακεδονίας· τελματώδης δὲ οὖσα πολλοὺς δόνακας ἀναδίδωσιν· μία δὲ τῶν περὶ τὴν Θεσσαλονίκην ἐστίν.

sch 497 ἡμέτερον. τὸ ‘ τὶσ ‘ ἢ διὰ μόνον τὸν Ξέρξην νοήσεις εἰρῆσθαι ἢ καθολικῶς διὰ πάντα τὸν στρατόν, ὃς ὑπὸ πολλῆς ὑπερηφανίας οὐκ ἐνόμιζεν εἶναι θεούς, ἀλλ’ ἀτίμως περὶ αὐτοὺς διακείμενος ᾤετο τῷ πλήθει νικήσειν καὶ πάντα ὑπ’ αὐτὸν ποιήσασθαι. ἡμέτερον.

sch 515 τοῦτο ἐκ μεταφορᾶς εἴρηται τῶν λὰξ ἐπιπηδώντων τισὶ καὶ συνεχῶς τῷ ποδὶ τυπτόντων κειμένους, ὡς μὴ δύνασθαι ἀναστάντας τὸν κίνδυνον ἐκφυγεῖν. ‘πιστῶσ‘ ὤφειλεν εἰπεῖν ἀλλὰ πρὸς τὸ ὄνομα ἐπήγαγε ‘ πιστοῖσ ‘· νοεῖται δὲ διπλῶς, ἢ ‘ἐπὶ τοῖς πεπραγμένοις πιστοῖσ‘, ἤτοι τοῖς φανερῶς καὶ βεβαίως γεγενημένοις τῷ στρατῷ ἀτυχήμασιν, ἢ ‘ἐπὶ τοῖς πεπραγμένοις πιστοῖσ‘, ἤτοι τοῖς πρότερον ὑφ’ ὑμῶν γεγενημένοις πιστῶς πρὸς ἡμᾶς ἔργοις· ὃ καὶ κρεῖττον καὶ μαρτυρεῖ τὸ ‘ πιστὰ ξυμφέρειν βουλεύματα ‘· ἑρμηνεύει δὲ τὰ βουλεύματα τὸ παραμυθεῖσθαι τὸν Ξέρξην εἰ πρὸ αὐτῆς καταλάβη, λέγουσα ὡς ἀπ’ ἄλλης ἀρχῆς οὕτως ‘ καὶ παῖ δ ’ ἐάνπερ ‘ καὶ τὰ ἑξῆς.

sch 532 σύστημα ἐπιφθεγματικὸν κώλων ις′. ἡμέτερον. ὦ Ζεῦ βασιλε ῦ: τὸ παρὸν εἶδος τοῦ χοροῦ ἑτέρως ἐστὶν ἐσχηματισμένον, ὡς καὶ πρότερον εἴρηται· ἔχει γὰρ πρῶτον ἐν τάξει προῳδοῦ σύστημα ἐπιφθεγματικὸν ὀνομαζόμενον ἀνομοιομερές, κώλων ἀναπαιστικῶν ις′, εἶτα στροφὰς καὶ ἀντιστροφὰς γ′. εἰσὶ γοῦν τοῦ παρόντος συστήματος τὰ κῶλα, ὡς εἴρηται, ἀναπαιστικά· ὧν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ γʹ καὶ τὸ ηʹ μονόμετρα, ἤτοι ἀναπαιστικὴ βάσις· τὰ λοιπὰ δίμετρα ἀκατάληκτα· τὸ δὲ ἑκκαιδέκατον δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει μόνη παράγραφος. εἴρηται ἡμῖν ὅτι δέχεται τὰ ἀναπαιστικὰ κῶλα καὶ ἴαμβον· μὴ ξενίζου τοίνυν εἴπερ εὑρήσεις ἐν τούτοις κείμενον ἴαμβον. ἐρείκη εἶδος φυτοῦ ὅπερ ἐστὶν εὔσχιστον.

sch 538 ἀπὸ τούτου δὲ καὶ τὸ ‘ κατερεικόμεναι ‘ γίνεται. τὸ δια δὲ ὑπερβατῶς πρὸς τὸ ‘ τέγγουσι ‘ συντακτέον. λέκτρων εὐνά ς: ἤγουν ἀφεῖσαι τὰς εὐνὰς τῶν λέκτρων τὰς ἁβροχίτωνας, τουτέστι τὸ καθεύδειν ἐν στρωμναῖς κεκοσμημέναις ἁβρῶς, ὅπερ ἐστὶ τέρψις καὶ χλιδὴ τῆς νέας ἡλικίας, ἤγουν τὸ τέρπεσθαι ὡς νέαι ἐάσασθαι, θρήνοις προσέχουσι χάριν τῶν οἰκείων ἀνδρῶν, οἷς νεωστὶ πρὸς γάμον συνήφθησαν.

sch 546 κἀγὼ δ έ: τουτέστιν οὐ περὶ τοὺς ἀποθανόντας ἀμελῶς διάκειμαι, ἀλλὰ τὸν τούτων θάνατον βαστάζω λαμπρῶς πολυδάκρυτον, ἀντὶ ‘θρήνου πολλοῦ ἀξιῶ‘. ἡμέτερον.

sch 548 νῦν γὰρ δ ή: τῆς παρούσης στροφῆς τὰ κῶλα ιʹ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τὸ αʹ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου δʹ, διτροχαίου καὶ συλλαβῆς, εἰ δὲ βούλει τροχαικὸν διόλου· τὸ βʹ χοριαμβικὸν ὅμοιον, ἐκ χοριάμβου, διτροχαίου καὶ συλλαβῆς· τὸ γʹ καὶ δʹ ἰαμβικὰ δίμετρα ἀκατάληκτα καθαρά· τὸ εʹ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον καθαρόν· τὸ ςʹ τροχαικὸν ἑφθημιμερὲς Εὐριπίδειον τὸν αʹ ἔχον πόδα χορεῖον· τὸ ζʹ καὶ ηʹ ὅμοια καθαρά· τὸ θʹ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἐξ ἐπιτρίτου δʹ καὶ βακχείου· τὸ ιʹ ὅμοιον ἐκ διτροχαίου καὶ βακχείου. ἐπὶ τῷ τέλει παράγραφος· ὅτι τὸ βʹ τῆς ἀντιστροφῆς κῶλον τὸν μὲν πρῶτον ἔχει πόδα διτρόχαιον, τὸν δὲ βʹ πεντασύλλαβον διτρόχαιον, τὸ δὲ ιʹ τὸν πρῶτον ἐπίτριτον τρίτον ἀντὶ διτροχαίου. τὸ ‘πόποι‘ καὶ ‘τότοι‘ ἐπιρρήματά ἐστι σχετλιαστικά, τὸ ‘ποποῖ‘ δὲ καὶ ‘τοτοῖ‘ τοπικὰ δηλοῦντα τὸ ‘ποῦ‘ καὶ τὸ ‘ἐκεῖ‘.

sch 553 καταχρηστικῶς λέγει τὸ ‘ βαρίδεσι ‘ καὶ ἀπὸ μέρους· οὐ γὰρ ἦσαν πᾶσαι αἱ τοῦ Ξέρξου νῆες βαρίδες ἀλλὰ ἄλλαι καὶ ἄλλαι. τοῦτο διὰ μέσου εἶπε, παραβάλλων τὸ τοῦ Δαρείου πρώην ἐν Μαραθῶνι δυστύχημα πρὸς τὸ νῦν ἐν Σαλαμῖνι συμβὰν Ξέρξῃ καὶ τῇ ὑπερβολῇ τούτου ἀβλαβῆ τὸν Δαρεῖον λέγων· ὁ μὲν γὰρ τεσσαράκοντα μυριάδας ἀπώλεσε, Ξέρξης δὲ πεντακοσίας· καὶ ὁ μὲν εἵπετο τῷ στρατῷ καὶ παραχρῆμα ἂν ἀπωλώλει, Δαρεῖος δὲ Δάτιν τὸν στρατηγὸν ἔπεμψεν.

sch 558 ἐπειδὴ τὸ ‘ τίπτε ‘ διὰ μέσου εἶπε, πάλιν φησί· ‘ πεζοὺς γάρ τε ὁ Ξέρξης κατὰ γῆν ἤγαγε‘ δηλονότι ‘τοὺς δὲ ἄλλους αἱ νῆεσ‘. εἰπὼν δὲ ‘ πεζοὺσ ‘ καὶ ‘ θαλασσίουσ ‘, πρὸς μὲν τοῦτο ἐπήγαγε τὸ ‘ νῆεσ ‘, τὸ δὲ ‘πεζοὺσ‘ ἀφῆκε νοεῖσθαι· πεζοὶ γάρ εἰσιν οἱ κατὰ γῆν ὁδεύοντες, ὡς μαρτυροῦσι Ξενοφῶν καὶ Θουκυδίδης καὶ πᾶν τὸ τῶν συγγραφέων ἔθνος. εἰπὼν ὡς νῆες ἀπώλεσαν τοὺς Πέρσας ἐν ἐμβολαῖς πανωλέθροις, νῦν ὥσπερ ἑρμηνεύων τὰς πανωλέθρους ἐμβολάς φησιν ὡς οὐκ ἄλλοθέν ποθεν ἐγεγόνεισαν ἀλλ’ ἢ ἀπ’ Ἀθηναίων· οὗτοι γάρ εἰσιν Ἴωνες· καὶ γὰρ οἱ εἰς τὴν Ἀσίαν ἀποικήσαντες καὶ καλούμενοι Ἴωνες Ἀθηναῖοι ἦσαν ἀπὸ Ἴωνος τοῦ ἡγησαμένου σφίσιν ὀνομασθέντες.

sch 562 σύνταξον δὲ οὕτως· ‘ὡς νῆες μὲν ἀπώλεσαν αὐτοὺς ἐν πανωλέθροισιν ἐμβολαῖς, διὰ δὲ τὰς χεῖρας τῶν Ἰώνων ἐγένοντο αὗται αἱ ἐμβολαί, ὥστε καὶ αὐτὸν τὸν Ξέρξην μόλις διαφυγεῖν ὡς ἀκούομεν‘ καὶ τὰ ἑξῆς. δέον δὲ εἰπεῖν ‘διὰ τῶν χειρῶν‘ ‘ διὰ χεῖρασ ‘ εἶπεν Ἀττικῶς ὡς καὶ ἀλλαχοῦ ‘ ἱππικῶν τ ’ ἀύπνων πηδαλίων διὰ στόμα ‘ καὶ Εὐριπίδης ‘ δεινὸν γάρ · Ἄργει τ ’ ἀναβοᾷ διὰ στόμα ‘. ἡμέτερα.

sch 568 τοὶ δ ’ ἄρ α: τῆς βʹ ταύτης στροφῆς τὰ κῶλα ηʹ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τὸ αʹ δακτυλικὸν ἑφθημιμερὲς καθαρόν· τὸ βʹ ὅμοιον δακτυλικὸν τετράμετρον καταληκτικὸν εἰς δισύλλαβον· τὸ γʹ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου δʹ, ἀντισπάστου καὶ

συλλαβῆς· τὸ δʹ τροχαικὸν δίμετρον βραχυκατάληκτον ἰθυφαλικόν· τὸ εʹ ἰωνικὸν ἀπʼ ἐλάττονος ἡμιόλιον, ἐκ παίωνος τρίτου, ἀντὶ ἰωνικοῦ, καὶ τροχαίου, εἰ δὲ βούλει ἰαμβικὸν πενθημιμερὲς τοῦ πρώτου ποδὸς ἀναπαίστου. τὸ ϛʹ παιωνικὸν δίμετρον καταληκτικόν, ἐκ πρώτου παίωνος καὶ δακτύλου· τὸ ζʹ χοριαμβικὸν δίμετρον καταληκτικόν, ἐκ χοριάμβου καὶ ἀμφιβράχεος ἢ βακχείου διὰ τὴν ἀδιάφορον, εἰ δὲ βούλει τροχαικὸν ἰθυφαλικὸν τοῦ πρώτου ποδὸς δακτύλου· τὸ ηʹ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ὃ καλεῖται γλυκώνειον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου βʹ· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον διτρόχαιον ἔχει ἀντὶ ἐπιτρίτου. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος μόνη. δύο ‘ φεῦ ‘ γράφε ἐνταῦθα ἐν τῷ τῆς στροφῆς κώλῳ, ἐν δὲ τῷ τῆς ἀντιστροφῆς ἕν· οὕτω γὰρ ἀπαιτεῖ τὸ μέτρον. [15]

sch 568bis καὶ ἐν τῷ δʹ κώλῳ ‘ πένθει ‘ γράφε, μὴ ‘ στένε ‘ ὡς ἐν τοῖς ἀντιγράφοις εὕρηται· οὕτω γὰρ ἔχει οἰκείως πρὸς τὸ τῆς ἀντιστροφῆς κῶλον. Κυχρείας ἀκτὰς τὰς τῆς Σαλαμῖνος λέγει· ἐκαλεῖτο γὰρ καὶ οὕτως ἀπό τινος Κυχρέως βασιλεύσαντος ἐν αὐτῇ. [5]

sch 576 τοῦτο πρὸς τὸ ἄνω συνάπτεται, ἀλλήλους πρὸς θρῆνον τῶν τοῦ χοροῦ ἐπαιρόντων διὰ μέσου. τὸ δὲ ‘ δεινῇ ‘ ἢ ἀντὶ τοῦ ‘φοβερᾷ‘ (τοιαύτη γὰρ ἡ θάλασσα), ἢ δεινὴν αὐτὴν λέγει διὰ τὸ πολλῶν δεινῶν ἐν αὐτῇ Πέρσας τετυχηκέναι. τὸ δὲ ‘ ἀναύδων ‘ ἀντὶ τοῦ ‘ἀφώνων‘ ἰχθύων, οἵτινές εἰσι παῖδες τῆς ἀμιάντου καὶ καθαρᾶς καὶ ἀθολώτου θαλάσσης. ἡμέτερον. [5]

sch 579 οἱ προστιθέντες ἐνταῦθα ἐν μὲν τῷ ‘ πενθεῖ δ ’ ἄνδρα δόμοσ ‘ ‘στερηθείσ‘, ἐν δὲ τῷ ‘ τοκέες δ ’ ἄπαιδεσ ‘ ‘ἔρρανται‘ ἀμαθεῖς 〈εἰσι〉 τῶν μέτρων· διὸ περισσὰ ὄντα ἐξεβλήθη παρʼ ἐμοῦ· ἡ δέ γε σύνταξις τούτων εὔγνωστος. ἡμέτερον. [5]

sch 584 τοὶ δ ’ ἀνὰ γᾶ ν: τῆς γʹ ταυτησὶ στροφῆς τὰ κῶλα ζʹ· τὸ αʹ, τὸ βʹ, τὸ γʹ καὶ τὸ δʹ χοριαμβικὰ δίμετρα ἀκατάληκτα προσοδιακὰ καλούμενα, ἐκ χοριάμβου καὶ ἰωνικοῦ ἀπʼ ἐλάττονος, εἰ δὲ βούλει δακτυλικὰ τρίμετρα (κατὰ μονοποδία〈ν〉 γὰρ μετρεῖται τὰ δακτυλικά, ὡς πολλάκις εἴρηται)· τὸ εʹ καὶ τὸ ϛʹ ἀντισπαστικὰ δίμετρα καταληκτικὰ ἃ καλεῖται φερεκράτεια, ἐξ ἐπιτρίτου δʹ καὶ ἀμφιβράχεος ἢ βακχείου διὰ τὴν ἀδιάφορον, εἰ δὲ βούλει δακτυλικὰ τρίμετρα καταληκτικὰ εἰς δισύλλαβον· τὸ ζʹ χοριαμβικὸν δίμετρον καταληκτικόν, ἐκ χοριάμβου καὶ βακχείου· εἴη δʼ ἂν καὶ τροχαικὸν ἰθυφαλικὸν τοῦ αʹ ποδὸς δακτύλου. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς κορωνίς, ἐξιόντος τοῦ χοροῦ. τὸ ‘ δὴν ‘ ἀντὶ τοῦ ‘ἐπὶ πολύ‘ ἐστιν· ἐνταῦθα δὲ οὕτω κεῖται ὥσπερ ἂν εἰ μηδʼ ὁπωσοῦν ἔκειτο· οἱ γὰρ ἐν Ἀθήναις ἀπολωλότες τῶν Περσῶν οὔτε ἐπὶ πολὺ κατὰ τὴν Περσίδα περσονομοῦνται οὔτε τὴν ἀρχὴν ὅλως· ἀπώλοντο γάρ. [5]

sch 588 ἡμέτερον. ‘ προπίτνοντεσ ‘ γράφε, μὴ ‘προσπίτνοντεσ‘· οὕτω γὰρ ἔχει οἰκείως πρὸς τὸ τῆς ἀντιστροφῆς κῶλον. ‘ ἐλύθη ζυγὸν ἀλκῆσ ‘ ἤγουν τὸ ἐξουσιάζεσθαι ἀπολεσθείσης καὶ καταβληθείσης τῆς τοῦ Ξέρξου δυνάμεως· ὃ καὶ προεῖπε διὰ τοῦ ‘ βασίλεια γὰρ διόλωλεν ἰσχύσ ‘.

sch 632 ἡμέτερα. ‘ πέρασ ‘ χρὴ γράφειν ἐνταῦθα, ἵνʼ εἴη τὸ κῶλον ἑφθημιμερὲς ὡς ἀποθετικόν· οὕτω γὰρ εὕρηται καὶ ἔν τινι τῶν παλαιῶν ἀντιγράφων· οἱ δὲ ‘Πέρσαισ‘ γράφοντες ἀγνοοῦσι τὰ μέτρα. ἦ ρ ’ ἀΐει μο υ: τῆς παρούσης στροφῆς τὰ κῶλα ζʹ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τὸ αʹ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον καθαρόν, ἐκ δύο χοριάμβων καὶ συλλαβῆς, εἰ δὲ βούλει ἀναπαιστικὸν ἑφθημιμερές· τὸ βʹ ἰωνικὸν ἀπʼ ἐλάττονος δίμετρον καταληκτικόν, ἐξ ἰωνικοῦ ἀπʼ ἐλάττονος καὶ ἀναπαίστου· εἴη δʼ ἂν καὶ ἀναπαιστικὸν πενθημιμερές· τὸ γʹ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικόν, ἐκ παίωνος πρώτου ἀντὶ ἰωνικοῦ καὶ βακχείου· τὸ δʹ καὶ εʹ ἀντισπαστικὰ δίμετρα ἀκατάληκτα, ἐξ ἀντισπάστων καὶ διιάμβων· τὸ ϛʹ παιωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παιώνων πρώτων δύο καὶ σπονδείου· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς παλιμβάκχειον τὸν βʹ ἔχει πόδα· τὸ ζʹ περίοδος καταληκτικὴ ἐκ τροχαικῆς συζυγίας καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἰαμβικῆς καταληκτικῆς, εἰ δὲ βούλει ἰωνικὸν δίμετρον καταληκτικόν, ἐκ διτροχαίου, ἀντὶ ἰωνικοῦ, καὶ βακχείου διὰ τὴν ἀδιάφορον.

sch 633 ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος· ὅτι τὸ ε′ τῆς ἀντιστροφῆς κῶλον ἐπίτριτον τέταρτον ἔχει τὸν πρῶτον πόδα, καλεῖται δὲ ταῦτα ἑξὰς ἐπῳδική· τρεῖς γάρ εἰσι στροφαὶ καὶ τρεῖς ἀντιστροφαὶ καὶ ἐπῳδός. ‘ βάρβαρα ‘ εἰπὼν ‘ἀσαφῆ‘ ἔδει εἰπεῖν· νῦν δὲ ἐπειδὴ κἀκεῖνος ὅμοιος τούτοις ἦν βάρβαρος καὶ δῆλα τούτῳ τὰ παρ’ ἐκείνων λεγόμενα ἦν, διὰ τοῦτο ‘ σαφηνῆ ‘ εἴρηκεν.

sch 636 οἱ γράφοντες ‘παντάλαιν’ ἄχη‘ ἀμαθεῖς εἰσι καὶ τῶν μέτρων καὶ τῆς τῶν ὀνομάτων ὀρθότητος· σὺ δὲ ‘ παντάλανα ‘ γράφε, ἵν’ οἰκεῖον ᾖ τὸ κῶλον τῷ τῆς ἀντιστροφῆς. ‘ἱέναι‘ δέον εἰπεῖν πρὸς μετοχὴν ἐξήνεγκεν.

sch 645 ἡμέτερα. δέον εἰπεῖν ‘ὃν οὔπω ἡ Περσὶς ἐκάλυψε γῆ‘, ‘ οἷον ‘ ἔφη, τὸ μέγεθος τῆς ἀρετῆς ἐκείνου δεῖξαι βουλόμενος· τοιοῦτος γὰρ ἦν οἷος καὶ μετὰ θάνατον ζῆν· οὐ γὰρ καλύπτει τάφος τοὺς ἀγαθοὺς τῆς περὶ αὐτοὺς φήμης εἰς πᾶσαν διερχομένης τὴν οἰκουμένην καὶ ὥσπερ ζῶντας τούτους εἰς πάντας παραπεμπούσης. ἡμέτερον.

sch 647 ἦ φίλος ἀνή ρ: τῆς β′ ταυτησὶ στροφῆς τὰ κῶλα ε′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τὸ α′ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον καθαρόν, ἐκ β′ χοριάμβων καὶ συλλαβῆς· τὸ β′ ἰωνικὸν ἀπ’ ἐλάττονος δίμετρον ἀκατάληκτον, ἐκ παίωνος τρίτου, ἀντὶ ἰωνικοῦ, καὶ ἐπιτρίτου β′, εἰ δὲ βούλει ἰαμβικὸν ἑφθημιμερές, τοῦ πρώτου ποδὸς ἀναπαίστου· τὸ γ′ ἰωνικὸν ὅμοιον δίμετρον ὑπερκατάληκτον, ἐξ ἰωνικοῦ ἀπ’ ἐλάττονος, παίωνος τρίτου καὶ συλλαβῆς· τὸ δ′ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ καὶ δισπονδείου, εἰ δὲ βούλει ἀναπαιστικὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές· τὸ ε′ προσοδιακὸν τρίμετρον καταληκτικόν, ἐκ παίωνος β′, ἀντὶ ἰωνικοῦ, χοριάμβου καὶ παλιμβακχείου· τὸ μέντοι κῶλον τῆς στροφῆς ἐπίτριτον ἔχει β′ ἀντὶ χοριάμβου. ἐπὶ τῷ τέλει παράγραφος. οὕτω χρὴ γράφειν τὰ παρόντα κῶλα τὸ πρῶτόν τε καὶ τὸ τέταρτον ὡς διωρθώθη παρ’ ἡμῶν, καὶ οὕτω συντάττειν· ‘ὄντως φίλος ἐστὶν ὁ ἀνήρ, φίλος ἐστὶν ὁ ὄχθος καὶ ὁ τάφος αὐτοῦ· κέκευθε γὰρ καὶ κρύπτει φίλα ἤθη, τὸν Δαρεῖον λέγω, τὸν οἷον καὶ μέγαν ἄνακτα τὸν Δαρειᾶν· ἠὲ καὶ φεῦ‘· εἶτα διὰ μέσου ἐρεῖς τὸ ‘ὁ Ἀϊδωνεὺς δέ, ὁ Ἀϊδωνεὺς εἴην ἂν ἀναπομπός‘, ἀντὶ τοῦ ‘εἴη‘ Ἀττικῶς, ὡς καὶ παρ’ Ὁμήρῳ τὸ ‘ ἤσκειν εἴρια καλά ‘, ἀντὶ τοῦ ‘ἤσκει‘, καὶ παρ’ Ἀριστοφάνει ‘ ὁ δὲ θεὸς ὑμῖν οὐ προσῄειν ‘ ἀντὶ τοῦ ‘οὐ προσῄει‘. ταῦτα δὲ διὰ τὴν χασμωδίαν οὕτω γράφεται παρ’ Ἀττικοῖς. τὸ ‘ Δαρειᾶν ‘ δὲ εἰ μὲν βούλει οὕτω νόει αἰτιατικὴν ὡς εἴρηται· εἰ δ’ οὖν, ἔστω σοι κλητική· οὕτω γὰρ καὶ ἐν τῇ ἑξῆς εὕρηται στροφῇ· στίξας οὖν εἰς τὸ ‘ ἄνακτα ‘, οὕτως εἰπὲ τὸ ἑξῆς ‘ὦ Δαρειᾶν, ἠὲ καὶ φεῦ‘ κομματικῶς· εἰ δὲ καὶ τὸ ‘ οἷον ‘ ἀντὶ τοῦ ‘μόνον‘ βούλει νοεῖν, εὕρηται γὰρ καὶ οὕτω, συνημμένως ἐρεῖς οὕτω ‘τὸν Δαρεῖον τὸν μόνον τῶν ἄλλων Δαρείων ἄνακτα‘ ὡς ἐκείνων πολλῷ τῷ μέτρῳ ταῖς ἀρεταῖς ὑπερφέροντα· δέον δὲ ‘Δαρείων‘ εἰπεῖν, ‘ Δαρειᾶν ‘ εἶπε Δωρικῶς. ἡμέτερα.

sch 657 βαλὴν ἀρχαῖο ς: τῆς τρίτης ταυτησὶ στροφῆς τὰ κῶλα η′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τὸ α′ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἐξ ἀντισπάστου καὶ κρητικοῦ, ὃ καλεῖται φερεκράτειον· τὸ β′ παιωνικὸν μονόμετρον ἐκ παίωνος δ′· τὸ γ′ χοριαμβικὸν ἡμιόλιον καθαρὸν ἢ δακτυλικὸν δίμετρον· τὸ δ′ ὅμοιον τῷ πρώτῳ, ἐξ ἀντισπάστου καὶ ἀμφιβράχεος ἢ βακχείου διὰ τὴν ἀδιάφορον· τὸ ε′ ἰωνικὸν ἀπ’ ἐλάττονος δίμετρον ἀκατάληκτον, ἐκ δύο ἰωνικῶν· τὸ ϛ′ ὅμοιον δίμετρον καταληκτικόν, ἐξ ἰωνικοῦ ἀπ’ ἐλάττονος καὶ βακχείου· τὸ ζ′ ὅμοιον ἡμιόλιον ἐκ παίωνος τρίτου, ἀντὶ ἰωνικοῦ, καὶ σπονδείου· εἴη δ’ ἂν καὶ ἰαμβικὸν πενθημιμερὲς τοῦ πρώτου ποδὸς ἀναπαίστου· τὸ η′ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον τοῦ β′ ποδὸς προκελευσματικοῦ ἤτοι τετραβράχεος, εἰ δὲ βούλει παιωνικὸν τρίμετρον καταληκτικόν, ἐκ παίωνος πρώτου καὶ δ′

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ μολοσσοῦ ἢ παλιμβακχείου διὰ τὴν ἀδιάφορον. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. τὸ ‘ Δαρειᾶν ‘ κἀνταῦθα εἰ μὲν βούλει ἀντὶ κλητικῆς νοεῖν, ‘ὦ πάτερ Δαρειᾶν καὶ Δαρεῖε‘ εἴποις ‘ ἄκακε ‘· εἰ δ’ ἀντὶ γενικῆς τῶν πληθυντικῶν ‘ὦ πάτερ τῶν Δαρειῶν καὶ τῶν Δαρείων ἄκακε ἐλθέ‘ καὶ τὰ ἑξῆς.

sch 672 ἡμέτερον. αἶ αἶ αἶ α ἶ: ἡ ἐπῳδὸς αὕτη κώλων ἐστὶν η′· τὸ α′ ἀναπαιστικὸν μονόμετρον· τὸ β′ δακτυλικὸν ἑφθημιμερές· ἔστω δ’ εἰ βούλει καὶ τὸ α′ δακτυλικόν· τὸ γ′ δακτυλικὸν ὅμοιον τρίμετρον καταληκτικὸν εἰς δισύλλαβον τοῦ πρώτου ποδὸς προκ 〈ελευσ〉 ματικοῦ· τὸ δ′ 〈ἰωνικὸν〉 ἀπ’ ἐλάττονος 〈δίμετρον〉 καταληκτικόν, 〈ἐξ ἰωνικοῦ〉 καὶ χορείου ἢ ἀ 〈ναπαίστου〉 διὰ τὴν ἀδιάφορον· τὸ ε′ ὅμοιον δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ καὶ διιάμβου διὰ τὴν ἀδιάφορον· τὸ ϛ′ δακτυλικὸν ἢ ἀναπαιστικὸν πενθημιμερές· τὸ ζ′ ὅμοιον ἑφθημιμερές· τὸ η′ προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου καὶ ἰωνικοῦ ἀπ’ ἐλάττονος διὰ τὴν ἀδιάφορον· εἰ δὲ βούλει δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς δισύλλαβον. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος. ἡμέτερα.

sch 675 κατ’ ἐρώτησιν σχηματίζει τὸν λόγον καί φησι πρὸς Δαρεῖον· ‘ὦ δυνάστα καὶ βασιλεῦ ἡμῶν Δαρεῖε, τί εἰσι τάδε τὰ φημιζόμενα δηλονότι περὶ πάσῃ τῇ σῇ γῇ τῇδε; δίδυμα γὰρ καὶ διπλᾶ ἁμαρτήματα διάγοιε 〈ν〉 καὶ περιέρχεται ἐπ’ αὐτοῦ· ἐξέφθιντο γὰρ καὶ ἐξεφθάρησαν αἱ νῆες ἄναες ‘, ἤτοι φθαρεῖσαι ἄναες ἐγένοντο, ἤγουν εἰς τὸ μὴ εἶναι νῆες ἐχώρησαν. δέον δὲ εἰπεῖν ‘ἐφθάρη δὲ καὶ πᾶν τὸ πεζόν‘ πρὸς τὸ ‘ δίδυμα ἁμαρτήματα‘, ἐπεὶ μὴ τελείως ἐφθάρη ἀλλὰ μερικοί τινες περιελείφθησαν, ἀπεσιώπησε τοῦτο. ὦ πιστὰ πιστῶ ν: ἡ συστηματικὴ αὕτη περίοδος στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιγ′.

sch 681 ἐπὶ τῷ τέλει παράγραφος. ὥσπερ φαμὲν ‘κάλλιστα καλλίστων‘ βουλόμενοι μεγίστην ὑπεροχὴν δηλῶσαι, τοιοῦτόν ἐστι καὶ τὸ νῦν τὸ ‘ πιστὰ πιστῶν ‘· δηλοῖ δὲ ἐντεῦθεν τὴν θαυμασίαν καὶ μεγίστην αὐτῶν πίστιν ἣν πρὸς αὐτὸν ζῶντα ἐκέκτηντο καὶ μετὰ θάνατον ἔχουσιν.

sch 685 ἡμέτερον. δέον ‘πρευμενῶσ‘ εἰπεῖν, ‘ πρευμενεῖσ ‘ εἶπε πρὸς τὸ ‘ χοάσ ‘· εἰ δὲ ‘ πρευμενὴσ ‘ γράψεις διὰ τοῦ η, εὕρηται γὰρ καὶ οὕτως, ἀντὶ τοῦ ‘συμπαθὴς καὶ ἵλεωσ‘ ἐρεῖς. ‘ ὀρθιάζοντεσ ‘ δὲ γράφε ἐν τῷ ἑξῆς στίχῳ, ἵν’ ᾖ οἰκεῖον τῷ μέτρῳ, μὴ ‘ῥοθιάζοντεσ‘· ἀνοίκειον γὰρ τοῦτο. μὴ λάβῃς ἔξωθεν τὸ ‘ἕνεκα‘, ἀλλ’ οὕτω σύνταξον· ‘ ἵνα ὦ ἄμεμπτος τοῦ χρόνου ‘ ἤγουν ‘ἵνα μὴ παρ’ ὑμῶν λάβω μέμψιν χρόνου‘.

sch 694 ἡμέτερα. σέβομαι μέ ν: τὰ τοιαῦτα εἴδη καλεῖται ἑτερόστροφα ὡς εἴρηται· ἔστι γοῦν τῆς παρούσης στροφῆς τὰ κῶλα γ′· τὸ α′ καὶ β′ ἰωνικὰ ἀπ’ ἐλάττονος δίμετρα ἀκατάληκτα καθαρά· τὸ δὲ γ′ ἀναπαιστικὸν ἑφθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ. ἀλ λ ’ ἐπε ὶ: σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων τροχαικῶν τετραμέτρων καταληκτικῶν γ′.

sch 697 ἐπὶ τῷ τέλει παράγραφος. δίομαι μέ ν: ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς ἧς ἡ ἀρχὴ ‘ σέβομαι μέν ‘· καὶ αὕτη γὰρ κώλων ἐστὶν ὁμοίων τριῶν.

sch 700 ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος ἔξω νενευκυῖαι. δίομαι μέ ν; ὀκνῶ τὸ σὸν θέλημα τελέσαι· τὸ δέ ἐστι μὴ ἔχειν με πρός σε ὑποστολήν· ὀκνῶ δὲ καὶ λόγον πρός σε ἆραι, ἐπειδὴ μέλλων λέξειν δύσλεκτα καὶ κακόφημα καὶ δυστυχῆ τοῖς φίλοις, ἤτοι ὑπὲρ τοῦ σοῦ υἱοῦ. ἡμέτερον.

sch 703 ἀλ λ ’ ἐπεὶ δέο ς: αἱ ἑξῆς αὗται συστηματικαὶ περίοδοι στίχων εἰσὶ τροχαιῶν τετραμέτρων καταληκτικῶν νϛ′, ὧν τελευταῖος ‘ τήν δ ’ ἐβούλευσεν κέλευθον καὶ στράτευ μ ’ ἐ φ ’ Ἑλλάδα ‘. ἐπὶ τῷ τέλει ἑκάστου συστήματος παράγραφος, ὡσαύτως καὶ ἐπὶ τῷ τέλει· οὔπω γὰρ ἐξίασιν οἱ ὑποκριταί. δέον εἰπεῖν ‘παλαιῶν φρενῶν‘ ἤτοι τῶν πάλαι προσόντων σοι ὑπὲρ τῆς ἐμῆς αἰδοῦς λογισμῶν, ὁ δὲ πρὸς τὸ ‘ δέος ‘ ἐπήγαγε, ‘παλαιὸν δέος‘ εἰπών. ὅτι οὐ τὸν Ξέρξην μόνον υἱὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶχε Δαρεῖος ἀλλὰ καὶ ἄλλους· Ἡρόδοτος μὲν γὰρ ἑπτά φησιν εἶναι Δαρείου παῖδας, Ἑλλάνικος δὲ ἕνδεκα. [5]

sch 719 τὸ ‘ πεῖραν τήν δ ’ ἐμώρανε τάλασ ‘ εἰς ἀμφότερα λάμβανε, εἴς τε τὸ ‘ πεζὸσ ‘ καὶ εἰς τὸ ‘ ναύτησ ‘· μωρία γὰρ ἦν ἀληθῶς τὸ πᾶσαν τὴν Ἀσίαν κενῶσαι ἀνδρῶν. ἀφελὴς δοκεῖ ἡ τοιαύτη ἀπόκρισις· ἐπειδὴ γὰρ ‘δύο στρατεύματα‘ ἔμελλεν εἰπεῖν, περιττὸν ἦν τὸ ‘ διπλοῦν μέτωπον ‘· ἀνάγκη γὰρ τὰ δύο στρατεύματα καὶ δύο μέτωπα ἔχειν.

sch 725 εἰπούσης Ἀτόσσης ὡς τῆς τοιαύτης βουλῆς θεός τις ἔφορος κακῶν αὐτῷ συνεφήψατο καὶ πρὸς αὐτὴν ὥρμησε θέλων αὐτὸν ἀπολέσαι, σχετλιάζων ὁ Δαρεῖός φησι ‘μέγας τις δαίμων ἐπῆλθεν αὐτῷ‘, τουτέστιν ὁ ἐνσκήψας αὐτῷ βάσκανος δαίμων μέγας καὶ δεινὸς ἦν, ὥστε ποιῆσαι αὐτὸν μὴ φρονεῖν καλῶς, μετατρέπων αὐτοῦ τὸν νοῦν, καὶ ἃ αὐτὸν εἰς δυστυχίαν βαλεῖν ἔμελλε, ταῦτα αὐτὸν ποιῶν βουλεύεσθαι. πεζὸν ὤλεσε στρατό ν: τουτέστιν ἀπολωλεκότες Ἕλληνες πρῶτον τὸ ναυτικὸν Ξέρξου, ὕστερον ἐπὶ τὸ πεζὸν ὥρμησαν δειλίᾳ κατασχεθὲν ὑπὸ τῆς τοῦ ναυτικοῦ συμφορᾶς, ὥστε ἐπειδὴ πρῶτον αὐτοὶ ἀπώλοντο καὶ τοὺς ἐν γῇ ἀπώλεσαν, φόβον εἰς αὐτοὺς ἐμβαλόντες ἐν ταῖς αὐτῶν συμφοραῖς, ὡς μετ’ ὀλίγον καὶ αὐτοὶ ἀπολεσθήσονται. [5]

sch 731 φεῦ ἕνεκα τῶν καλλίστων καὶ γενναιοτάτων ἀνδρῶν οὓς ἀπώλεσε· τὸ γὰρ ‘ κεδνῆς ἀρωγῆς καὶ ἐπικουρίας στρατοῦ ‘ οὐδὲν ἄλλο ἐστὶν ἢ ‘τῶν φρονιμωτάτων καὶ πολεμικωτάτων ἀνδρῶν‘· ὅτι δέ ἐστι τοῦτο, μαρτυρεῖ τὸ ‘ οἵαν ἄ ρ ’ ἥβην ξυμμάχων ἀπώλεσεν ‘, ὃ προιὼν λέγει. μονάδ α: μεμονωμένον· τοῦτο δὲ λέγει οὐχ ὡς μόνου Ξέρξου σωθέντος, ἀλλ’ ἐπειδὴ μετ’ ὀλίγων πάνυ ὑπέστρεφε, διὰ τοῦτο ‘ μονάδα ‘ φησίν. [5]

sch 736 γέφυραν ἐν δυοῖ ν: ἤτοι τὸ ἐν Ἀσίᾳ καὶ Εὐρώπῃ ζεῦγμα· τὸν γὰρ Ἑλλήσποντον, ὅστις ἐστὶν ὅρος τῶν δύο ἠπείρων, ἔζευξεν. χὠ θεὸς συνάπτετα ι: συναγωνίζεται αὐτῷ τῆς σπουδῆς καὶ ὃ ζητεῖ κακὸν παραχωρεῖ αὐτῷ ἐπελθεῖν, ἵνα μάθῃ μὴ τῶν τοιούτων ὀρέγεσθαι, ὥσπερ καὶ εἰ καλὸν ζητεῖ, ἐπιτρέπει.

sch 744 τά δ ’ οὐ κατειδώ ς; ἤγουν τὸ ‘ἐὰν σπεύδῃ τις εἰς κακὸν καὶ ὁ θεὸς συνάπτεται αὐτῷ τῆς σπουδῆσ‘. τὸ δὲ ‘ νέῳ ‘ ἀντὶ τοῦ ‘νηπιώδει‘· ἢ τὸ ‘ τάδε ‘ ἀντὶ τοῦ ‘τὰ παρόντα κακά‘· ὅπερ εἰ οὕτως εἴποις, νοήσεις τὸ ‘ οὐ κατειδώσ ‘ οὕτως ἀντὶ τοῦ ‘οὐ γινώσκων‘ τὸ ‘ἐάν τις πρὸς τὸ κακὸν σπεύδῃ, καὶ ὁ θεὸς αὐτῷ τῆς σπουδῆς συνάπτεται‘, ‘ ἤνυσε τάδε, ἤγουν τὰ παρόντα κακά, ἐν νέῳ καὶ νηπιώδει θράσει ‘. Ἑλλήσποντον καὶ Βόσπορον τὸν αὐτὸν καλεῖ, ἀπὸ μὲν τῆς Ἕλλης Ἑλλήσποντον, ἀπὸ δὲ τῆς Ἰοῦς βοὸς γενομένης Βόσπορον· τὸ δὲ ‘ θεοῦ ‘ ἤτοι τοῦ Ποσειδῶνος· ὃν ἀρτίως καὶ ἱερὸν ἐκάλεσε διὰ τὸ ἱδρῦσθαι αὐτόθι Διὸς ἱερόν, ἢ ὡς ἀνειμένον τῷ Ποσειδῶνι, ὡς Μνασέας φησίν. [5]

sch 752 ἀποροῦσιν ἐνταῦθα πῶς δοτικὴν λέγων τὸ ‘ ἀνθρώποισ ‘ καὶ δέον ‘τῷ φθάσαντι‘ εἰπεῖν, ὁ δὲ οὐχ οὕτως ἀλλὰ πρὸς γενικὴν τοῦτο ἐπήνεγκεν ἀντὶ τοῦ ‘φθάσαντι‘ ‘ φθάσαντοσ ‘ εἰπών· καὶ φαμὲν ὅτι ἐποίκιλλε τὴν σύνταξιν· ἐπεὶ γὰρ ἀμφότερα λέγομεν, καὶ ‘ἐγένετο τῷ δεῖνι ὁ ἐμὸς πλοῦτος ἁρπαγή‘ καὶ ‘ἐγένετο τοῦ δεῖνος ἁρπαγή‘, συντάσσοντες καὶ πρὸς γενικὴν καὶ πρὸς δοτικὴν τὸ ‘γίνεται‘, διὰ τοῦτο καὶ ὁ Αἰσχύλος τῷ διπλῷ τῆς συντάξεως τὸν λόγον ἐποίκιλλεν. ἡμέτερα. [5]

sch 759 τοιγάρ σφι ν: αἱ ἑξῆς αὗται συστηματικαὶ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ϛγʹ, ὧν τελευταῖος ‘ οὐ γὰρ τὰ φίλτα τ ’ ἐν κακοῖς προδώσομεν ‘ . ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος· ἐπὶ δὲ τῷ τέλει πάντων κορωνίς, εἰσιόντος τοῦ χοροῦ. οἱ γράφοντες ‘μητρολόφου‘ οὐκ ἴσασι τὰ περὶ τῶν μέτρων· χρὴ γοῦν ‘ μηλοτρόφου ‘ γράφειν, ἵν’ οἰκεῖον ᾖ τῷ μέτρῳ. [5]

sch 765 τίνες ἦρξαν τῶν Περσῶν. ἔθηκεν εἰρήνη ν: τελείως γὰρ οὗτος τὰ τῆς βασιλείας κατέστησε πράγματα, ὡς μηδένα ἔχειν τὸν ἀνθιστάμενον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch 776 ἡμέτερον. οἱ γράφοντες ‘Ἀρταφέρνησ‘ κἀνταῦθα τὰ τῶν μέτρων παντάπασιν ἀγνοοῦσι· σὺ δ’ ‘ Ἀρταφρένησ ‘ γράφων, ἔσῃ τὰς φρένας ἀρτίας ἔχων. οἷς τό δ ’ ἦν χρέο ς: τὸ φονεῦσαι αὐτόν· ὤφειλον γὰρ τῷ Ἀρταφρένῃ ὡς φίλοι πρὸς πάντα ὑπηρετεῖν· ἔστι δὲ εἰρωνικόν.

sch 782 ἡμέτερα. ‘ ὢν νέοσ ‘ γράφε, ἵν’ οἰκεῖον ᾖ τῷ μέτρῳ· οἱ γὰρ γράφοντες ‘ νέος ὢν ‘ οὐκ ἴσασιν ὅπως γράφουσιν. ἀπὸ τοῦ ἐπιτέλλω, τὸ προστάσσω, γίνεται ἡ ἐπιστολὴ πλεονασμῷ τοῦ ς , ἤγουν ἡ ἐντολή, ἵνα μὴ συνεμπέσῃ τῇ ἐπιτολῇ, ὃ σημαίνει τὴν τῶν ἄστρων ἀνατολὴν τὴν γενομένην μετὰ δύσιν ἡλίου· ἐπὶ μὲν γὰρ ἡλίου λέγεται ἀνατολή, ἐπὶ δὲ τῶν ἄστρων ἐπιτολή.

sch 795 ἡμέτερα. ἐν τοῖς ἀρίστοις τῶν ἀντιγράφων ‘ εὐστελῆ στόλον ‘ εὕρηται, καὶ δοκεῖ τὸ μὲν ‘εὐστελήσ‘ σημαίνειν τὸν καλῶς εἰς τὴν ὁδὸν στελλόμενον καὶ πορευόμενον, ἤγουν τὸν ἄνευ πολλῆς ἀποσκευῆς τὴν ὁδὸν ἀνύοντα· τὸ δὲ ‘εὐσταλήσ‘ τὸν καλῶς κεκοσμημένον· εὐσταλῆ γὰρ λέγομεν τὸν σεμνῶς καὶ κοσμίως ἐσταλμένον. ‘ ἄρωμεν ‘ χρὴ γράφειν ἐπὶ ἀορίστου, οὐκ ‘ἀροῦμεν‘ ἐπὶ μέλλοντος· ὁ μὲν γὰρ ἀόριστος μακρᾷ παραλήγεται, ὁ δὲ μέλλων τῆς πέμπτης συζυγίας τὰ ἀμετάβολα τηρεῖ, φησί, συστολῇ τῆς παραληγούσης· ἐν ἄλλοις δὲ ἡμῖν σαφέστερον περὶ τούτων εἴρηται.

sch 808 ἀθέων φρονημάτω ν: ἐπειδὴ ἀσεβὲς φρόνημα εἶχον ἅτε ἱερὰ ἐμπιπρῶντες καὶ τάφους ἀνασκευάζοντες. [ πέλανος λέγεται ὁ ῥύπος· λέγεται δὲ καὶ θῦμά τι].

sch 829 εἰς τὸ ‘ κεχρημένοι ‘ ὑποστίζων, ἀντὶ τοῦ ‘χρῄζοντεσ‘ νοήσεις· εἰ δὲ συνάψεις τοῦτο πρὸς τὸ ‘ εὐλόγοις νουθετήμασιν ‘, ἀντὶ τοῦ ‘χρησάμενοι‘, ὅθεν καὶ πρὸς τὸ ‘ λῆξαι ‘ ‘ὥστε‘ ἔξωθεν λάμβανε. ἡμέτερον.

sch 834 μὴ λέγε τὸ ‘ πάντα ‘ ἀντὶ τοῦ ‘πάντῃ‘ ὥς τινες οἴονται· οὐ γὰρ ἁρμόζει τῷ μέτρῳ οὕτως· ἀλλὰ πρὸς τὸ ‘ ποικίλων ἐσθημάτων ‘ συνάπτων, οὕτω λέγε· ‘κατὰ πάντα γὰρ τῶν ποικίλων ἐσθημάτων‘ ἤτοι ‘κατὰ πάντα τὰ ποικίλα ἐσθήματα τὰ περὶ τῷ σώματι αὐτοῦ στημορραγοῦσι, τουτέστι διαρρήγνυνται, καὶ γίνονται λακίδες καὶ σχίσματα ὑπὸ τοῦ ἄλγους τῶν κακῶν ‘. ἡμέτερον.

sch 845 πολλὰ μέν, φησί, κακὰ ἄλγη ἐπῆλθεν ἐπ’ ἐμὲ ἀκούσασαν ὅσα συνέβη τῷ Ξέρξῃ καὶ τοῖς μετ’ αὐτοῦ· μάλιστα δέ με λυπεῖ ἥδε ἡ συμφορὰ ἀκούσασαν τὴν ἀτιμίαν τοῦ παιδός, —τῶν ἐσθημάτων λέγω τῶν περὶ τῷ σώματι, —ἥτις περικαλύπτει αὐτόν, ἢ ἀκούσασαν τὴν ἀτιμίαν τῶν ἐσθημάτων τοῦ παιδὸς τῶν περὶ τῷ σώματι, τουτέστιν ὅτι ἐν διερρηγμένοις ἐνδύμασιν ἀτίμως ὑποστρέφει. σύστημα ἐπιφθεγματικὸν κώλων ϛʹ.

sch 852bis ἡμέτερον. ὢ πόπο ι: καὶ τὸ παρὸν εἶδος τοῦ χοροῦ ὅμοιόν ἐστι τῷ προρρηθέντι· ἔχει γὰρ σύστημα οὐ καθαρῶς ἐπιφθεγματικόν, ἔοικε δὲ μᾶλλον εἶναι προκαταστατικόν, καὶ ἑξῆς στροφὰς καὶ ἀντιστροφὰς δύο καὶ ἐπῳδόν. εἰσὶ γοῦν τοῦ παρόντος συστήματος τὰ κῶλα ϛʹ· τὸ αʹ δακτυλικὸν πενθημιμερές· τὸ βʹ καὶ γʹ ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα· τὸ δʹ ὅμοιον τῷ πρώτῳ· τὸ εʹ ἀναπαιστικὸν ἑφθημιμερές· τὸϛʹ ἰαμβικὸν ἑφθημιμερὲς καθαρόν. ἐπὶ τῷ τέλει παράγραφος· εἴρηται ὅτι εὕρηται ἐν τοῖς ἀναπαιστικοῖς καὶ ἴαμβος. ἡμέτερον.

sch 858 πρῶτα μέ ν: τῆς παρούσης στροφῆς τὰ κῶλα ιαʹ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τὸ πρῶτον δακτυλικὸν πενθημιμερές· τὸ βʹ ἰωνικὸν ἀπ’ ἐλάττονος δίμετρον ἀκατάληκτον, ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ καὶ διιάμβου διὰ τὴν ἀδιάφορον· τὸ αὐτὸ δ’ ἂν εἴη καὶ ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον εἰς δισύλλαβον· τὸ γʹ χοριαμβικὸν μονόμετρον ὑπερκατάληκτον, τοιοῦτον γάρ ἐστι τὸ τῆς ἀντιστροφῆς κῶλον καθαρόν, ἐνταῦθα δὲ διαλύεται ἡ βʹ μακρὰ καὶ γίνεται ὁ ποὺς πεντασύλλαβος· τὸ δʹ ὅμοιον χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου καὶ διιάμβου· τὸ εʹ ὅμοιον τῷ πρώτῳ· τὸ ϛʹ ἀναπαιστικὸν μονόμετρον· τὸ ζʹ τροχαικὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλικόν· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς δάκτυλον ἔχει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν β′ πόδα· τὸ η′ ὅμοιον τῷ πρώτῳ· τὸ θ′ ὅμοιον τῷ ζ′· τὸ ι′ ὅμοιον πενθημιμερές· τὸ τῆς στροφῆς κῶλον δὲ τὸν β′ πόδα χορεῖον ἔχει· τὸ ια′ τροχαικὸν ἐφθημιμερὲς καθαρόν, ὃ καλεῖται Εὐριπίδειον. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. καλεῖται δὲ ταῦτα τετρὰς ἐπῳδική· δύο γάρ εἰσι στροφαὶ καὶ ἀντιστροφαὶ καὶ ἐπῳδός. τὸ ἀπο πρὸς τὸ ‘ εὐδοκίμου ‘ σύναπτε, ἵν’ ᾖ ‘ἀπὸ τῆς εὐδοκίμου στρατιᾶς ἐφαινόμεθα καὶ ἔκδηλοι πᾶσιν ἦμεν τὰ ἐς πολέμουσ‘.

sch 863 ἡμέτερον. οἱ προστιθέντες ἐνταῦθα τὸ ‘ ἐς οἴκουσ ‘ καὶ φάσκοντες ‘ ἆγον ἐς οἴκουσ ‘ ἀμαθεῖς εἰσι τῶν μέτρων καὶ τῆς ὀρθῆς τοῦ λόγου συντάξεως· τὸ γὰρ λέγειν ‘νόστοι ἦγον ἡμᾶσ‘ νοεῖν δίδωσιν ὡς ἐς τοὺς οἴκους ἦγον δηλονότι· ὅθεν περισσὸν ὂν ἐξεβλήθη παρ’ ἐμοῦ. καὶ αἱ ἔξω τῆς θαλάσσης ὅσαι εἰσὶ μεσήπειροι, ὡς καὶ μέχρι τῶν Ὑπερβορέων παρατεινούσης τῆς ἀρχῆς τῶν Περσῶν.

sch 874 ἡμέτερα. περισσὸν ἦν ἐνταῦθα κῶλον τὸ ‘ τοῦ δ ’ ἄνακτος ἄιον ‘· διὸ καὶ ἐξεβλήθη παρ’ ἐμοῦ· συνάπτων δὲ πάντα πρὸς τὸ ‘ εἰσίν ‘ ἀσφαλῆ πεποιημένος ἔσῃ τὴν σύνταξιν· ταῦτα γὰρ πάντα πρὸς τὸ ‘ ὅσας εἷλε πόλεισ ‘ συνάπτονται. ἀφεὶς τὰ περὶ τὴν Θρᾴκην καὶ τὸν Ἑλλήσποντον μετέβη ἐπὶ τὸ Αἰγαῖον πέλαγος· αἱ γὰρ νῆσοι, ἃς ἀπαριθμεῖται, περὶ τὸ Αἰγαῖον τυγχάνουσι πέλαγος.

sch 878 νᾶσοί θ ’ α ἵ: τῆς β′ ταύτης στροφῆς τὰ κῶλα θ′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τὸ α′ δακτυλικὸν πενθημιμερές· τὸ β′ ἀναπαιστικὸν πενθημιμερές· τὸ τρίτον τροχαικὸν ἐφθημιμερὲς Εὐριπίδειον· τὸ δ′ ὅμοιον τῷ α′· τὸ ε′, τὸ ς′, τὸ ζ′ καὶ τὸ η′ ἀναπαιστικὰ μονόμετρα· τὸ θ′ ἰαμβικὸν ἐφθημιμερές. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. εἴπερ ἔν τισι τῶν κώλων σπονδείους ἀντὶ δακτύλων εὑρήσεις, ἐν ἄλλοις δὲ τὸ ἀνάπαλιν, μὴ ξενίζου· τοῦ αὐτοῦ γὰρ καὶ ἀμφότεροι τυγχάνουσι μέτρου. ἐπειδὴ τὰ κύκλῳ τῶν νήσων ἀκταί εἰσι, διὰ τοῦτο ‘ μεσάκτουσ ‘ τὰς νήσους καλεῖ.

sch 889 ἡμέτερα. ‘ ἀγχιάλουσ ‘ καὶ ‘ μεσάκτουσ ‘ τὰς ἑξῆς ταύτας νήσους ὠνόμασεν, ὡς μὴ οὔσας παραιγιαλίτιδας ἀλλ’ ἐν τῷ μέσῳ τοῦ πελάγους κειμένας· αἱ μὲν γὰρ ἄνω ῥηθεῖσαι πρὸς βορέαν νεύουσαι τῇ γῇ πλησιάζουσιν· αἱ δὲ ἑξῆς ῥηθησόμεναι ἐν τῷ μέσῳ κείμεναι τοῦ πελάγους εἰκότως ὠνομάσθησαν ἀγχίαλοι ὡς τῇ ἁλὶ πλησιάζουσαι μᾶλλον καὶ οὐ τῇ χέρσῳ. Σαλαμῖνα λέγει τὴν ἐν Κύπρῳ ὑπάρχουσαν πόλιν, οὐ τὴν νῆσον Αἴαντος· ἄποικοι γὰρ οἱ ἐν Κύπρῳ Σαλαμίνιοι τῶν ἐν τῇ Ἀττικῇ Σαλαμῖνι οἰκούντων.

sch 894 ‘ στεναγμῶν ‘ δὲ γράφε, μὴ ‘στεναγμάτων‘· οὕτω γὰρ ἁρμόζει τῷ μέτρῳ. ἡμέτερα.

sch 897 καὶ τὰς εὐκτεάνου ς: τῆς ἐπῳδοῦ ταύτης τὰ κῶλα ια′· τὸ α′ δακτυλικὸν πενθημιμερές· τὸ β′ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, τοῦ β′ ποδὸς προκελευσματικοῦ ἤτοι τετραβράχεος· τὸ γ′ δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς δισύλλαβον· τὸ δ′ ὅμοιον τῷ β′ καθαρόν· τὸ ε′ ἰωνικὸν ἀπ’ ἐλάττονος δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ καὶ δισπονδείου, εἰ δὲ βούλει ἀναπαιστικὸν ἐφθημιμερές· τὸ ς′ ὅμοιον τῷ τρίτῳ· τὸ ζ′ ὅμοιον τῷ πρώτῳ· τὸ η′ καὶ θ′ ἀναπαιστικὰ μονόμετρα· τὸ ι′ ὅμοιον τῷ α′· τὸ ια′ ἰαμβικὸν ἐφθημιμερές. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος· ταῦτα γάρ εἰσι τῆς ἐπῳδοῦ σημεῖα. οἱ γράφοντες ‘ σφετέραις χερσίν ‘ ἀγνοοῦσι τὰ μέτρα· σὺ δὲ ‘ φρεσί ‘ γράφων οὐκ ἄμοιρος εἶναι δόξεις φρενῶν.

sch 908 ἰώ ἰ ώ: τὰ τοιαῦτα εἴδη καλεῖται ἀλλοιόστροφα, ὡς εἴρηται· εἰσὶ δὲ τοῦ παρόντος συστήματος τὰ κῶλα ι′· τὸ πρῶτον ἰαμβικὸν μονόμετρον, τὰ δὲ λοιπὰ ἀναπαιστικά, ὧν τὰ μὲν ζ′ δίμετρα ἀκατάληκτα, τὸ η′ ὅμοιον μονόμετρον, τὸ δὲ θ′ ἐφθημιμερὲς παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος. ἡμέτερα.

sch 915 οἱ γράφοντες ‘ εἴ θ ’ ὤφελε Ζεύσ‘ καὶ τὸ ‘ μοῖρα ‘ ἐπὶ δοτικῆς νοοῦντες ἀγνοοῦσι τὰ μέτρα· σὺ δὲ οὕτω λέγε· ‘ὦ Ζεῦ, εἴθε ὄφελε κατακαλύψαι καὶ ἐμὲ μοῖρα θανάτου μετὰ τῶν ἀνδρῶν τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἰχομένων‘· οὕτω καὶ τὸ ‘ Ζεῦ ‘ ἐπὶ κλητικῆς εἴποις καὶ τὸ ‘ μοῖρα ‘ βραχὺ ἕξει τὸ ρα · οὕτω γὰρ ἀπαιτεῖ τὸ μέτρον· καὶ τὸ ‘ ὄφελε ‘ δὲ σμικρὸν γράφε διὰ τὸ μέτρον. ὀτοτο ῖ: τῆς πρώτης ταυτησὶ στροφῆς τὰ κῶλα ἀναπαιστικὰ ι′· ὧν τὸ α′ καὶ β′ δίμετρα ἀκατάληκτα· τὸ γ′ μονόμετρον· τὸ δ′ ἑφθημιμερές· τὰ ἑξῆς ε′ δίμετρα ἀκατάληκτα· τὸ δὲ ι′ αὖθις ἑφθημιμερὲς ὡς ἀποθετικόν. [5]

sch 918 ἐπὶ τῷ τέλει παράγραφος. τιμὴν λέγει ἢ ἣν ἐτιμῶντο οἱ Πέρσαι παρὰ τῶν ἄλλων τὰ ἐς πολέμους, ἢ ἣν οἱ τῶν Περσῶν βασιλεῖς ἔχουσιν. [5]

sch 924 τῷ σάκτορι τοῦ Ἅιδου ἤτοι τῷ Ἄρει δι’ οὗ πληροῦται ὁ Ἅιδης νεκρῶν· ἢ ‘ σάκτορι ‘ ἀντὶ τοῦ ‘φθορᾷ‘. ἡμέτερα.

sch 927 ἔφθιντα ι: περισσὴ ἦν ἐνταῦθα ἡ ‘ἐξ‘, διὸ καὶ ἐξεβλήθη παρ’ ἐμοῦ· χρὴ γὰρ ἑφθημιμερὲς εἶναι τὸ κῶλον ὡς ἀποθετικόν, καὶ τὰ ἑξῆς δὲ κῶλα οὕτω γράφεσθαι χρὴ ὡς διωρθώθη παρ’ ἡμῶν. αἶ α ἶ: σύστημα κατὰ περικοπὴν μονόστιχον· ἔστι δὲ τὸ κῶλον δακτυλικὸν τρίμετρον.

sch 929 Ἀσία δὲ χθώ ν: τῆς β′ στροφῆς τὰ κῶλα ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα β′· τὸ β′ δὲ προκελευσματικὸν ἔχει τὸν γ′ πόδα. ἐπὶ τῷ τέλει παράγραφος. κέκλιτα ι: ἤγουν τεταπείνωται καὶ καταβέβληται, ἐκ μεταφορᾶς τῶν μὴ δυναμένων στῆναι διὰ πήρωσιν σκέλους· εἴληπται δὲ εἰς παροιμίαν.

sch 931 ὅ δ ’ ἐγώ ν: σύστημα ἕτερον κατὰ περικοπὴν κώλων γ′ ἀναπαιστικῶν· τὸ α′ ἑφθημιμερές· τὸ β′ δίμετρον ἀκατάληκτον· τὸ δὲ γ′ πενθημιμερές· ἐπὶ τῷ τέλει παράγραφος. αἰακτό ς: ἤγουν ἀφορμὴ θρήνου πᾶσι γέγονα διὰ τὴν συμβᾶσάν μοι συμφοράν, καὶ τῇ πατρῴᾳ γῇ κακῶν αἴτιος γέγονα, ἀνθ’ ὧν τοσοῦτον πλῆθος ἀπώλεσα ἐν Ἑλλάδι.

sch 935 προσφθόγγου σοι νόστο υ: τῆς τρίτης ταυτησὶ στροφῆς τὰ κῶλα ἀναπαιστικὰ ς′· τὸ α′ ἑφθημιμερές· τὸ β′ καὶ γ′ μονόμετρα, ἐκ προκελευσματικοῦ καὶ ἀναπαίστου· τὸ δ′ δίμετρον ἀκατάληκτον· τὸ ε′ μονόμετρον καθαρόν· τὸ ς′ ὅμοιον τῷ β′ καὶ τρίτῳ κατὰ πάντα. ἐπὶ τῷ τέλει παράγραφος. δέον εἰπεῖν ‘ πέμψω σοι τὴν βοὴν τοῦ νόστου τὴν πρόσφθογγον κακοφάτιδα ‘ καὶ τὰ ἑξῆς, ὁ δὲ ‘ προσφθόγγου ‘ εἶπε πρὸς τὸ ‘ νόστου ‘. ἡ σύνταξις· ‘ πέμψω σοὶ τὴν βοὴν τοῦ νόστου τοῦ προσφθόγγου κακοφάτιδ α , ἰὰν καὶ βοὴν κακομέλετον Μαριανδηνοῦ θρηνητῆρο ς , ἰαχὴν λέγω πολύδακρυν ‘, τουτέστιν ‘ὥσπερ τοὺς ἐξ ἀποδημίας ἰόντας προσφθέγγεσθαι δίκαιον, οὕτω καὶ ἐγὼ πρός σε πέμψω λόγους θρήνων καὶ κακῶν γέμοντασ‘· τὸ δὲ ‘ἰὰν κακομέλετον Μαριανδηνοῦ θρηνητῆροσ‘ ἀντὶ τοῦ ‘θρῆνον ἐκμελῆ καὶ ἄμουσον οἷος ὁ τοῦ Μαριανδηνοῦ θρηνητῆροσ‘· οἱ γὰρ Μαριανδηνοὶ κακῶς καὶ ἀμούσως θρηνοῦσιν· εἴληπται δὲ εἰς παροιμίαν. [5]

sch 939 ἴε τ ’ αἰανή ν: σύστημα ἕτερον κώλων γ′ ἀναπαιστικῶν· τὸ α′ καὶ β′ δίμετρα ἀκατάληκτα· τὸ δὲ τρίτον μονόμετρον ἐκ προκελευσματικοῦ καὶ ἀναπαίστου. ἐπὶ τῷ τέλει παράγραφος. ἐπειδὴ ἡ λύπη σκοτισμὸν ἐπάγει καὶ κατήφειαν, διὰ τοῦτο ‘ αἰανὴν ‘ εἶπεν.

sch 944 ἡμέτερα. ἥσω το ι: τῆς τετάρτης ταυτησὶ στροφῆς τὰ κῶλα ι′· τὸ α′ ἀναπαιστικὸν ἑφθημιμερές· τὸ β′ δακτυλικὸν τρίμετρον, εἰ δὲ βούλει προσοδιακόν, ἐκ χοριάμβου καὶ ἰωνικοῦ ἀπ’ ἐλάττονος· τὸ γ′ ἀναπαιστικὸν μονόμετρον, ἐκ προκελευσματικοῦ καὶ ἀναπαίστου· τὸ δ′ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον· τὸ ε′ ὅμοιον τῷ α′· τὸ ς′, τὸ ζ′ καὶ τὸ η′ ἀναπαιστικὰ πενθημιμερῆ· τὸ θ′ ὅμοιον δίμετρον βραχυκατάληκτον· τὸ ι′ ὅμοιον τῷ ς′. ἐπὶ τῷ τέλει παράγραφος. ἥσω το ι: ἤγουν ὡς πρώην εὐφήμουν σε, οὕτω καὶ πανόδυρτον νῦν μέλος πέμψω πενθητῆρος, σεβίζων καὶ διὰ θρήνου τιμῶν τὰ λαοπαθῆ καὶ ἁλίτυπα βάρη τῆς γέννας τῆς πόλεως, ἤγουν τὰ ἐν χέρσῳ καὶ θαλάττῃ τοῖς Πέρσαις συμβάντα. Ἰάνων γά ρ: οἱ Ἴωνες μετὰ τῶν Περσῶν κατὰ τῆς Ἑλλάδος στρατεύσαντες· ἐπειδὴ ὁ Θεμιστοκλῆς ἐν ταῖς ναυλόχοις πέτραις ἔγραψε ‘μνήσθητε ἄνδρες Ἴωνες κατὰ πατέρων στρατεύοντεσ‘, —ἄποικοι γὰρ ἦσαν Ἀθηναίων—, τοῦτο ἀναγνόντες Ἴωνες πρὸς Ἀθηναίους ἐχώρησαν. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch 949 λέγει οὖν ὁ χορὸς ὡς ὁ ἑτεραλκὴς ναύφρακτος Ἄρης τῶν Ἀθηναίων ἀπηύρα καὶ ἀφείλετο καὶ ἐστέρησεν ἡμᾶς τῶν Ἰώνων κερσάμενος καὶ τεμὼν καὶ ἀφανίσας τὴν νυχίαν πλάκα καὶ τὴν δυσδαίμονα ἀκτήν, ἤγουν τὸ ναυτικὸν τῶν Περσῶν τὸ ἐν τῇ ἀκτῇ τῆς Σαλαμῖνος ὁρμοῦν καὶ 〈τὸ〉 ἐν τῇ Ψυταλίᾳ νήσῳ εὑρισκόμενον Περσικόν· καὶ γὰρ οἱ προύχοντες τῶν Περσῶν ἐκεῖσε ἦλθον οἰόμενοι τοὺς φεύγοντας τῶν Ἀθηναίων ἐντεῦθεν χειροῦσθαι. λέγει οὖν νυχίαν πλάκα τὴν νῆσον τὴν Ψυταλίαν καὶ δυσδαίμονα ἀκτὴν τὴν τῆς Σαλαμῖνος διὰ τὸν ἐνταῦθα τοῖς Πέρσαις συμβάντα θάνατον. οἴ ο ἴ: σύστημα ἕτερον μονόστιχον· ἔστι δὲ τὸ κῶλον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. [15]

sch 955 οἴ ο ἴ: ἡ στροφὴ αὕτη κατὰ σχέσιν ἐστίν· ἔχει γὰρ ἑξῆς καὶ ἀντιστροφήν. εἰσὶ γοῦν τὰ κῶλα αὐτῆς η′· τὸ α′ μονόμετρον βραχυκατάληκτον τροχαικὸν διὰ τὰ ἑξῆς· τὰ ἑξῆς ς′ τροχαικὰ ἑφθημιμερῆ Εὐριπίδεια· τὸ δὲ η′ ἀναπαιστικὸν μονόμετρον. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσ〈ιν〉. ἡμέτερα. [5]

sch 962 οἴ ο ἴ: σύστημα ἕτερον κατὰ περικοπὴν κώλων ἀναπαιστικῶν δ′· τὸ α′ δίμετρον ἀκατάληκτον· τὸ β′ ἑφθημιμερές· τὸ γ′ μονόμετρον· τὸ δ′ αὖθις ἑφθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος. οὕτω χρὴ γράφειν τὰ κῶλα ὡς διωρθώθη παρ’ ἡμῶν, ἵν’ οἰκείως ἔχωσι πρὸς τὰ μέτρα· εἰ δ’ ἄλλως γράψεις, οὐ καλῶς ἕξει. οἴ ο ἴ: ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς ἧς ἡ ἀρχὴ ἡ αὐτή, καὶ αὕτη γὰρ κώλων ἐστὶ τοσούτων. [5]

sch 966 εἰ δ’ ἔν τισι τούτων καὶ ἑτέρους εὑρήσεις πόδας διὰ τὴν ἀνάγκην τῶν ὀνομάτων, μὴ ξενίζου· οἰκεῖοι γάρ εἰσι καὶ αὐτοὶ τῷ μέτρῳ· καὶ τὸ η′ γὰρ κῶλον ἀντὶ δακτύλου καὶ ἀναπαίστου προκελευσματικὸν ἔχει καὶ ἀνάπαιστον. ἐπὶ τῷ τέλει παράγραφος. ἡμέτερον. [5]

sch 973 ἰώ ἰώ μο ι: σύστημα ἕτερον κώλων ε′· τὸ α′ ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον· τὸ β′ καὶ γ′ ἀναπαιστικὰ ἑφθημιμερῆ· τὸ δ′ ὅμοιον πενθημιμερές, ἐκ προκελευσματικοῦ, δακτύλου καὶ συλλαβῆς· τὸ ε′ ὅμοιον δίμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος. στυγνὰς τὰς Ἀθήνας εἶπε διὰ τὴν ἐν αὐταῖς συμβᾶσαν αὐτοῖς συμφοράν. [5]

sch 977 ἡμέτερα. ἦ καὶ τὸν Περσῶ ν: τῆς στροφῆς ταυτησὶ τὰ κῶλα η′· τὸ πρῶτον ἀναπαιστικὸν ἑφθημιμερές· τὸ β′ ὅμοιον δίμετρον ἀκατάληκτον [εἰς δισύλλαβον]· τὸ γ′, τὸ δ′, τὸ ε′ καὶ τὸ ς′ ὅμοια τῷ πρώτῳ· τὸ ζ′ ὅμοιον τοὺς πρώτους δύο πόδας ἔχον χορείους· τὸ η′ ἴαμβος τρίμετρος ἀκατάληκτος. ἐπὶ τῷ τέλει παράγραφος. ἴυγγά μ έ: σύστημα ἕτερον κατὰ περικοπὴν κώλων ε′· τὸ α′ καὶ β′ ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα· τὸ γ′ ὅμοιον δίμετρον ἀκατάληκτον· τὸ δ′ ἰαμβικὸν μονόμετρον· τὸ ε′ ὅμοιον τῷ α′ καὶ β′. [5]

sch 987 ἐπὶ τῷ τέλει παράγραφος. ἡμέτερα. [5]

sch 992 καὶ μὴν ἄλλο γέ τ ι: τῆς στροφῆς ταυτησὶ τὰ κῶλα ζ′, ἀναπαιστικά· τὸ α′ ἑφθημιμερές· τὸ β′ δίμετρον ἀκατάληκτον· τὸ γ′ ὅμοιον, εἰ δὲ βούλει ἰαμβικόν· τὸ δ′ ἑφθημιμερές· τὸ ε′ ὅμοιον μονόμετρον· τὸ ς′ ὅμοιον τῷ α′, καὶ τὸ ζ′ ὅμοιον. ἐπὶ τῷ τέλει παράγραφος. ἔταφο ν: σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ἰαμβικῶν δ′· ὧν τὰ μὲν γ′ τρίμετρα βραχυκατάληκτα ἐπιμεμιγμένα χορείοις· τὸ δὲ δ′ δίμετρον ἀκατάληκτον. [5]

sch 1000 ἐπὶ τῷ τέλει παράγραφος. ἡμέτερα.

sch 1004 ἰή ἰ ή: τῆς στροφῆς ταυτησὶ τὰ κῶλα δ′, ἰαμβικά· τὸ α′, 〈τὸ β′〉 καὶ τὸ γ′ δίμετρα ἀκατάληκτα· τὸ δὲ δ′ ἑφθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος. ἑξῆς δὲ σύστημα μονόστιχον ἤτοι στίχος ἰαμβικὸς τρίμετρος. πεπλήγμεθ α: ἤγουν τοιαύτην πληγὴν καὶ δυστυχίαν πεπόνθαμεν, ὡς ἀείμνηστον εἶναι καθάπερ αἱ δι’ αἰῶνος ᾀδόμεναι συμφοραί. [5]

sch 1009 πεπλήγμεθ α: τῆς στροφῆς ταυτησὶ τὰ κῶλα ε′· τὸ α′ περιοδικὸν καταληκτικόν, ἐξ ἰαμβικῆς συζυγίας καὶ τροχαικῆς καταληκτικῆς· τὸ β′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ γ′ καὶ δ′ ὅμοια

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ α′· τὸ ε′ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος. οὕτω λέγε· ‘ πεπλήγμεθα δὴ τὸ δυσπόλεμον καὶ δυσκαταγώνιστον γένος τῶν Περσῶν κύρσαντες οὐκ εὐτυχῶς Ἰώνων ναυατῶν‘· τὰ δὲ λοιπὰ διὰ μέσου. τί δ ’ ο ὔ: αἱ ἑξῆς αὗται στροφαὶ κατὰ σχέσιν εἰσίν· εἰσὶ δὲ καὶ ἑτέρως ἐσχηματισμέναι κατὰ τὸν ἀμοιβαῖον τρόπον.

sch 1014 εἰσὶν οὖν τῆς παρούσης στροφῆς τὰ κῶλα ια′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τὸ α′ περιοδικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰαμβικῆς καὶ τροχαικῆς συζυγίας· τὸ β′, τὸ γ′ καὶ δ′ ἰαμβικὰ πενθημιμερῆ· τὸ ε′ καὶ ϛ′ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι· τὸ ζ′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ α′ ποδὸς χορείου· τὸ η′, τὸ θ′ καὶ ι′ τροχαικὰ ἰθυφαλικά, τοῦ β′ ποδὸς δακτύλου· τὸ ια′ ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. οὕτως εὑρέθη ὁ στίχος ἔν τινι λίαν παλαιῷ βιβλίῳ, καὶ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς· οἱ δὲ ‘ φυγαίχμασ ‘ γράφοντες ἀγνοοῦσι τὰ μέτρα· ἴαμβος γὰρ χρὴ εἶναι ὁλόκληρος.

sch 1033 διότι καὶ ἀπὸ θαλάσσης καὶ ἀπὸ ξηρᾶς ἐδυστύχησαν οἱ Πέρσαι, λέγει τὸ ‘ δίδυμα ‘· τὸ δὲ ‘ τριπλᾶ ‘ ἀντὶ τοῦ ‘πολλαπλάσια‘. ἡμέτερα.

sch 1037 περισσὸν ἦν ἐνταῦθα κῶλον τὸ ‘ φίλων ἄταισι ποντίαισ ‘· διὸ καὶ ἐξεβλήθη παρ’ ἐμοῦ· οὔτε γὰρ τοῖς τῆς στροφῆς κώλοις ἥρμοζεν οὔτε τῇ τοῦ λόγου συντάξει, εἴ τις ὀρθῶς σκοποίη. αἶ αἶ αἶ α ἶ: τῆς β′ ταυτησὶ στροφῆς τὰ κῶλα η′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τὸ α′, τὸ β′, τὸ γ′ καὶ τὸ δ′ ἰαμβικὰ δίμετρα ἀκατάληκτα· τὸ ε′ ὅμοιον μονόμετρον, ἐκ χορείου καὶ ἰάμβου· τὸ ϛ′ καὶ ζ′ δίμετρα ὅμοια τῷ α′ καὶ β′· τὸ η′ ἴαμβος τρίμετρος ἀκατάληκτος.

sch 1039 ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. δόσιν κακά ν: τὸ γὰρ ἀντιθρηνεῖν δόσις ἐστὶ κακῶν ἤγουν θρήνων ἐν κακοῖς ἤτοι θρήνοις πρὸς ὃν ἡ ἀντιθρήνησις γίνεται.

sch 1043 τὸ ‘ ὀτοτοῖ ‘ ἔν τισι μὲν δι’ ἑνὸς τ εὕρηται, ἔν τισι δὲ διὰ δύο πρὸς τὴν χρῆσιν τοῦ μέτρου· οὐ χρὴ οὖν ἀλόγως ἀεὶ διὰ δύο ττ γράφειν. ἡμέτερα.

sch 1055 ἄνια ἄνι α: τῆς τρίτης ταυτησὶ στροφῆς τὰ κῶλα ε′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τὸ α′ ἰαμβικὸν μονόμετρον ἐκ χορείων· τὸ β′ ἴαμβος τρίμετρος ἀκατάληκτος· τὸ τρίτον ὅμοιον δίμετρον ὑπερκατάληκτον ἢ ἀκατάληκτον, τοῦ γ′ καὶ δ′ ποδὸς χορείων· τὸ δ′ τροχαικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἀναπαίστου ἀρχόμενον· τὸ ε′ ἴαμβος τρίμετρος ἀκατάληκτος. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. ὁ τῆς ἀντιστροφῆς οὗτος πέμπτος στίχος ἐλλιπὴς ἦν πρὸς τὸν τῆς στροφῆς· διὸ καὶ ἀνεπληρώθη παρ’ ἐμοῦ, καὶ οἶμαι ὡς καλῶς.

sch 1067 οἴ οἴ οἴ ο ἴ: ἡ ἐπῳδὸς αὕτη ἡ ἐν ἐκθέσει τοῦ δράματος κώλων ἐστὶ ιδ′· τὸ α′ ἰαμβικὸν μονόμετρον· τὸ β′ ὅμοιον δίμετρον ἀκατάληκτον· τὸ γ′ ἰαμβικὸν μονόμετρον· τὸ δ′ τροχαικὸν ἑφθημιμερὲς Εὐριπίδειον· τὸ ε′ ἰαμβικὸν ἑφθημιμερές· τὸ ϛ′ καὶ ζ′ ὅμοια· τὸ η′ ὅμοιον τῷ γ′· τὸ θ′ ὅμοιον τῷ δ′· τὸ ι′ ὅμοιον τῷ γ′· τὸ ια′ τροχαικὸν μονόμετρον· τὸ ιβ′ ὅμοιον τῷ γ′· τὸ ιγ′ τροχαικὸν πενθημιμερὲς ἐκ χορείων· τὸ ιδ′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος· ταῦτα γάρ εἰσι τοῦ τέλους τῶν ἐπῳδῶν σημεῖα, ὡς εἴρηται. τρίσκαλμον λέγει ναῦν τὴν ἐφ’ ἑκάστῃ καθέδρᾳ τρεῖς κώπας ἔχουσαν· σκαλμὸν γὰρ καλοῦσι τὸ ὀξὺ ξύλον ἐν ᾧ τὴν κώπην τροποῦσιν οἱ ναῦται· τὴν αὐτὴν δὲ καὶ τριήρη καλοῦσιν ὡς ἐφ’ ἑκάστῃ καθέδρᾳ τρεῖς διὰ ταχυτῆτα κεκτημένην ἐρέτας, τουτέστι ναύτας ἐρέσσοντας· τὴν τρίτην δὲ ταύτην κώπην ναῦται κοινῇ γλώττῃ τριτζέριον ὀνομάζουσιν.

gloss 1a χορὸς γερόντων. στροφὴ κώλων ξε′. τάδε] * ἤγουν ἡμεῖς.

gloss 1c τῶν οἰχομένων] * τῶν πορευθέντων. Ἑλλάδ’] ἤγουν τὴν Ἑλληνικήν.

gloss 2b αἶαν] γῆν. πιστὰ] ἤγουν ἡμεῖς ἐσμὲν οἱ πιστοὶ τῶν Περσῶν.

gloss 3a ἀφνεῶν] * ὀλβίων. πολυχρύσων] πλουσίων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

gloss 4a ἑδράνων] * κατοικήσεων. πρεσβείαν] * ἐντιμότητα.

gloss 4c κατασκευή. τὸ ‘ ἄναξ ‘ καὶ ‘ βασιλεύσ ‘ ἐκ παραλλήλου.

gloss 6 ὁ τοῦ Δαρείου υἱός. εἵλετο] προὐκρινεν.

gloss 7b ἐφορεύειν] ἐξιστατεῖν. βάσις.

gloss 8b ἀμφὶ] περὶ. νόστῳ] * τῇ ὑποστροφῇ.

gloss 8d τῷ βας.] τῷ τοῦ βασιλέως. πολυχρύσου] τῆς πλουσιωτάτης.

gloss 9b ἤδη] * ἤγουν νῦν. κακόμαντις] κακὰ μαντευόμενος, φανταζόμενος.

gloss 10b ἄγαν] λίαν. ὀρσοπολεῖται] * κινεῖται.

gloss 11 θυμὸς] ἡ ψυχή μου. κατασκευή.

gloss 12b πᾶσα] ἄθροισις. ἰσχὺς] δύναμις, ἤγουν πάντες οἱ ἰσχύοντες ἄνδρες.

gloss 12d Ἀσιατογενής] ἡ ἐν Ἀσίᾳ γεννηθεῖσα. οἴχωκε] * ἐπορεύθη.

gloss 13b νέον δ’ ἄνδρα] * ἤτοι πᾶσαν τὴν νεότητα. βαΰζει] * ἀνακαλεῖται ὁ θυμός.

gloss 14a ἄγγελος] πεζὸς δηλονότι. ἱππεύς] ἔφιππος.

gloss 15a ἄστυ] εἰς τὸ. ἀφικνεῖται] ἔρχεται * ἐξ ἐκείνων.

gloss 16a οἵ τε] μερισμός. τὸ Σούς.

gloss 16b κτλ.] * αὗται αἱ πόλεις βασίλεια Περσῶν εἶχον. ἠδ’] καὶ Κίσσινον] πόλις καὶ αὕτη Περσῶν.

gloss 17b ἕρκος] ἤγουν ἡ πόλις. προλιπόντες] * ἀφέντες.

gloss 18b ἔβαν] ἔβησαν, ἀπῆλθον. ἐφ’ ἵππων] ἤγουν κέλητες καὶ μετὰ ἁρμάτων.

gloss 19a ναῶν] πλοίων. βάδην] ἤγουν διὰ τῶν οἰκείων ποδῶν.

gloss 20a στῖφος] τάξιν. παρέχοντες] διδόντες, ποιοῦντες.

gloss 21a οἷος] ἦν δηλονότι. ἠδ’] καὶ Ἀρταφρένης] ὁ ἠδ’] καὶ.

gloss 23a ταγοὶ] ἄρχοντες. Περσῶν] τῶν.

gloss 24a βασιλῆς] οὕτω γράφουσιν Ἀττικοὶ διὰ τοῦ η. βασιλέως] συνίζησις.

gloss 24c ὕποχοι] * ὑποχείριοι. μεγάλου] ἤγουν τοῦ Ξέρξου.

gloss 25a σοῦνται] * ὁρμῶσι. ἔφοροι] * ἐπιστάται.

gloss 26a τοξοδάμαντες] διὰ τῶν τόξων δαμάζοντες. ἠδ’] καὶ.

gloss 26c ἱπποβάται] ἐφ’ ἵππων βαίνοντες. ἰδεῖν] αὐτοὺς δηλονότι τινά.

gloss 27b μάχην] κατὰ. εὐτλήμονι] * καρτερικῇ δόξῃ] ὑπολήψει.

gloss 29a Ἀρτεμβάρης] οἷος ἦν. θ’] καὶ.

gloss 29c ἱππιοχάρμης] ὁ τοῖς ἵπποις χαίρων. τε] καὶ.

gloss 30b τοξοδάμας] ὁ τοῖς τόξοις δαμάζων τοὺς ἐχθροὺς αὐτοῦ. ἐσθλὸς] ἀγαθός.

gloss 32 ἵππων κτλ.] ὁ ἵππους ἐλαύνων. πολυθρέμμων] ὁ πολλοὺς τρέφων.

gloss 34a Νεῖλος] ὑπήκοοι γὰρ ἦσαν Αἰγύπτιοι τότε Περσῶν. ἔπεμψεν] εἰς Ἑλλάδα Σουσισκάνης] ὁ.

gloss 34c1 * ἦσαν δὲ οὗτοι. Πηγασταγὼν] ὁ.

gloss 35b Αἰγυπτογενής] ὁ ἐν Αἰγύπτῳ γεννηθείς. τε] καὶ.

gloss 36b Μέμφιδος] πόλεως Αἰγύπτου. τάς τ’ ὠγυγίους] * τὰς παλαιάς· λέγει δὲ τὰς ἑκατονταπύλους.

gloss 38 ἐφέπων] * ἐπιτηρῶν, διεξάγων. ἑλειοβάται] * Αἰγύπτιοι· Ἕλος γὰρ τόπος ἐν Αἰγύπτῳ.

gloss 39b ἐρέται] κωπηλάται. δεινοὶ] ἐπιτήδειοι.

gloss 41a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἁβροδιαίτων] * τῶν πολυτελῶν ἔν τε τροφαῖς καὶ ἐνδύμασιν. ἕπεται] ἀκολουθεῖ οἵτ’] οἵτινες.

gloss 42b ἐπίπαν] * παντελῶς. ἠπειρογενὲς] τὸ ἐν τῇ Ἠπείρῳ γεννηθέν.

gloss 43 τοὺς] τοὺς Λυδούς. πολύχρυσοι] αἱ.

gloss 45a1 * αἱ πλουσιώταται διὰ τὸ παρακεῖσθαι αὐταῖς τὸν Πακτωλὸν ποταμόν. ἐπόχους] * ἐπιβάτας.

gloss 46 ἐξορμῶσιν] ἐξώρμησαν. δίρρυμα] * τέθριππα.

gloss 47b τρίρρυμα] * ἕξιππα. τέλη] * πληρώματα, στίφη.

gloss 48a ὄψιν] θεωρίαν. προσιδέσθαι] θεάσασθαι αὐτούς τινα.

gloss 49a στεῦνται] * ὁρμῶσι. ἱεροῦ] * μεγάλου.

gloss 49c Τμώλου] * ὄρος Λυδίας. πελάται] οἱ πλησίον αὐτοῦ οἰκοῦντες.

gloss 50a ἀμφι–] περι. δούλειον] δουλικόν.

gloss 50c Ἑλλάδι] τῇ. ἄκμονες] * καρτερικοί, ἐκ μεταφορᾶς τοῦ ἄκμονος.

gloss 52 ἀκοντισταὶ] ἀκόντια φέροντες. ἡ πολύχρυσος] ἡ πλουσιωτάτη.

gloss 54a σύρδην] ὁμοῦ. ναῶν] η.

gloss 54c ἐπόχους] * ἐπιβάτας. τοξουλκῷ] ἤγουν ἐμπείρους τοξικῆς.

gloss 55b λήματι] * φρονήματι πιστούς] * θαρραλέους, ἀσφαλεῖς.

gloss 56a τὸ μαχαιροφόρον] τὸ μαχαίρας φέρον ὥσπερ νῦν Ἰταλοὶ τὰ ἐγχειρίδια. ἔθνος] ἤγουν οἱ Χαλδαῖοι.

gloss 57a Ἀσίας] τῆς ἀνατολῆς. ἕπεται] ἀκολουθεῖ.

gloss 58a δειναῖς] * μεγάλαις. βασιλέως] συνίζησις.

gloss 58c ὑποπομπαῖς] * προπομπαῖς. συμπέρασμα.

gloss 59b τοιόνδ’] τοιοῦτον. ἄνθος] * ἐξαίρετον.

gloss 59d Περσίδος] τῆς. αἴας] γῆς.

gloss 60 οἴχεται] * ἐπορεύθη. χθών] ἡ γῆ.

gloss 61b Ἀσιῆτις] ἤγουν ἡ τῆς Ἀσίας. θρέψασα] ἤγουν ἀναθρέψασα.

gloss 62b στένεται] στενάζει. μαλερῷ] * διαπύρῳ, καυστικῷ.

gloss 63a τοκέες] γεννήτορες ἄλοχοι] γυναῖκες.

gloss 63c ἡμερόλεγδον] * τὸν ἐξ ἡμερῶν συλλεγόμενον. τείνοντα] * αὐξανόμενον, μηκυνόμενον.

gloss 64b τρομέονται] φοβοῦνται, τρέμουσιν. στροφὴ ἑτέρα κώλων ζʹ.

gloss 65b ὁ περσέπτολις] ὁ πορθῶν τὰς πόλεις. ἤδη] πάλαι.

gloss 66 βασίλειος] βασιλικός. * ἤγουν τὴν ἐναντίαν τῇ Ἀσίᾳ Εὐρώπην.

gloss 67b χῶρον] τόπον. λινοδέσμῳ] ὡς ἐκ λίνου τῶν κάλων ὄντων.

gloss 68b σχεδίᾳ] στόλῳ νεῶν. πορθμὸν] τὸ στενὸν τῆς θαλάσσης.

gloss 69 ἀμείψας] διελθών. Ἀθαμαντίδος] τῆς θυγατρὸς Ἀθάμαντος.

gloss 70b Ἕλλας] η πολύγομφον] πολυκάρφωτον.

gloss 71b ὅδισμα] * πορείαν, ὁδόν. ζυγὸν] ἤγουν γέφυραν.

gloss 72b ἀμφιβαλὼν] περιβαλὼν. αὐχένι] διὰ τὸ εἶναι στενόν.

gloss 73a ἀντιστροφὴ κώλων ζʹ. πολυάνδρου] τῆς ἐχούσης πολλοὺς ἄνδρας ἤτοι ἔθνη πολλά.

gloss 73c θούριος] ὁ ὁρμητικός. * ἤλπιζε γὰρ Ξέρξης πᾶσαν γῆν δουλώσειν, μήτοιγε δὴ τὴν Ἑλλάδα.

gloss 74b χθόνα] γῆν. ποιμανόριον] * ποίμνιον ἀνδρῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

gloss 75b θεῖον] * θαυμαστὸν διὰ τὸ πλῆθος. ἐλαύνει] ἐκίνησεν, ἄγει.

gloss 76a διχόθεν] ἐξ ἀμφοτέρων τῶν μερῶν πεζονόμοις] ἤγουν πεζοῖς· τὴν γῆν βαδίζουσιν.

gloss 77a ἐχυροῖσι] στερροῖς. πεποιθὼς] θαρρῶν.

gloss 78a στυφέλοις] * ταρακτικοῖς ἢ σκληροῖς. ἐφέταις] * τοξόταις.

gloss 79 χρυσονόμου] * πλουσιωτάτης· τοιοῦτοι γὰρ οἱ Πέρσαι. φώς] ὁ.

gloss 80a1 * ὁ ἀνήρ. στροφὴ ἑτέρα κώλων ς′.

gloss 81b κυάνεον] * σκοτεινόν, φοβερόν, καταπληκτικόν. συνίζησις.

gloss 81c λεύσσων] βλέπων. φονίου] φονικοῦ.

gloss 82b δέργμα] * βλέμμα. πολύχειρ] σὺν πολλῇ δυνάμει.

gloss 83b πολυναύτας] η σὺν πολλαῖς ναυσὶν ἢ ναύταις.

gloss 84a σύριον] ἐκ Συρίας ἀπὸ μέρους. διώκων] * ἐλαύνων.

gloss 85a ἐπάγει] ἐπιφέρει. δουρικλύτοις] ἐνδόξοις κατὰ τὸ δόρυ· ἤγουν * πολεμικωτάτοις.

gloss 86a ἀνδράσι] τοῖς Ἕλλησι. τοξόδαμνον] ἐν τόξοις δαμάζοντα.

gloss 86c Ἄρη] πόλεμον. ἀντιστροφὴ 〈κ〉ώλων 〈ς′〉.

gloss 87b δόκιμος] φρόνιμος· δόκησιν ἔχων περὶ αὑτοῦ μεγάλην. οὔτις] οὐδείς.

gloss 87d ὑποστάς] ἔμπροσθεν στὰς καὶ ἐναντιωθείς. μεγάλῳ] ἤγουν τῇ μεγάλῃ ὁρμῇ, τροπικῶς.

gloss 88b φωτῶν] ἀνδρῶν. ἐχυροῖς] στερεοῖς.

gloss 89b ἕρκεσιν] ἤγουν τείχεσιν. εἴργειν] ἐθελήσει κωλύειν.

gloss 90 ἤγουν τὸ πλῆθος τῶν Περσῶν, τροπικῶς. ἀπρόσοιστος] ἀπρόσδεκτος.

gloss 91 ἀνυπόστατος. ἀλκίφρων] ἐν δυνάμει φρονῶν καὶ πολέμῳ μέγα.

gloss 93a ἐπῳδὸς κώλων θ′. γνω(μικόν).

gloss 93c δολόμητιν] δολίαν βουλήν. ἀπάταν] η.

gloss 93e θεοῦ] * συνίζησις. ἀλύξει] ἐκφύγῃ ἄν.

gloss 95a κραιπνῷ] ταχεῖ. πηδήματος] ὃς γὰρ ταχύτατός ἐστιν ἅλλεσθαι πηδήματος εὐπετοῦς ἄρχει.

gloss 96a εὐπετέος] συντομωτάτου. ἀντὶ μιᾶς.

gloss 96b ἀνάσσων] κρατῶν, ἄρχων. φιλόφρων] ἤγουν φιλοφρόνως.

gloss 97b σαίνουσα] θέλγουσα ἡ τοῦ θεοῦ ἀπάτη. τοπρῶτον] κατ’ ἀρχάς.

gloss 98b παράγει] παραφέρει. βροτὸν] ἄνθρωπον.

gloss 99b εἰς ἀρκύστατα] εἰς δίκτυα. τόθεν] διὰ τοῦτο.

gloss 100a1 ὅθεν. ἔστιν] ὑπερφυγεῖν.

gloss 100c θνατὸν] η. ὄντα τινά.

gloss 101a ἀλύξαντα] ὑπεκδραμόντα. ἐκ παραλλήλου.

gloss 101b φυγεῖν] αὐτήν. στροφὴ ἑτέρα κώλων ς′.

gloss 102b θεόθεν] ἐκ θεοῦ. καταμοῖρ’] ἤγουν εἱμαρμένον ἐστίν.

gloss 103a ἐκράτησεν] κατεκράτησεν· ἐνταῦθα ἡ ‘ κατά ‘. τοπαλαιὸν] ἤγουν ἐξ ἀρχῆς.

gloss 104 ἐπέσκηψε] ἐπῆλθε καὶ ἐξ ἀρχῆς συμβέβηκεν. πυργοδαΐκτους] πύργους δαμάζοντας.

gloss 106a διέπειν] διεξάγειν, ποιεῖν. ἱππιοχάρμας] δι’ ἵππων γινομένους.

gloss 107 κλόνους] ταραχάς. ἀναστάσεις] καταβολάς, ἀνατροπάς, ἀφανισμούς.

gloss 109a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντιστροφὴ κώλων ϛʹ. ἔμαθον] οἱ Πέρσαι.

gloss 109c εὐρυπόροιο] τῆς πλατείας. θαλάσσας] η.

gloss 110b πολιαινομένας] η. λευκαινομένης τοῖς κύμασιν.

gloss 111a πνεύματι] ἀνέμῳ. λαύρῳ] σφοδρῷ.

gloss 111c πόντιον] ἐπειδὴ τὸ ἆλσος ἐπὶ ξηρᾶς, διὰ τοῦτο πόντιον εἶπεν. πίσυνοι] θαρροῦντες.

gloss 112a λεπτοδόμοις] λεπτοῖς. πείσμασιν] σχοινίοις.

gloss 113 μηχαναῖς] ναυσὶ περώσαις τοὺς λαούς. στροφὴ ἑτέρα κώλων ϛʹ.

gloss 114b ταῦτα] διὰ. μελαγχίτων] συνετὴ ἢ πενθήρης.

gloss 115a φρὴν] ὁ νοῦς. ἀμύσσεται] σπαράσσεται, τιτρώσκεται.

gloss 115c φόβῳ] τῷ. ὀά] φεῦ.

gloss 116 Περσικοῦ] ἕνεκα. τοῦδε] τοῦ στρατεύματος.

gloss 117b πόλις] ἑτέρα. ἡ.

gloss 117c πύθηται] ἀκούσῃ. κένανδρον] ἤγουν τὴν ἐρημίαν καὶ κενανδρίαν ἤγουν τὴν ἀπώλειαν.

gloss 118b μέγ’ ἄστυ] λέγω. Σουσίδος] ἤγουν τὰ Σοῦσα.

gloss 119a ἀντιστροφὴ κώλων ϛʹ ἡ πόλις Περσικὴ τὸ Κίσσιον.

gloss 120 ἀντίδουπον] ἀντηχὲς ἐν τῷ θρήνῳ. ὀά] φεῦ.

gloss 122a τοῦτ’ ἔπος] ἤγουν τὸ ὀά. γυναικοπληθὴς] ἤγουν ὁ τῶν γυναικῶν.

gloss 123a ὅμιλος] τὸ πλῆθος. ἀπύων] βοῶν ἔσται.

gloss 124a βυσσίνοις] κοκκίνοις. πέπλοις] ἐνδύμασι.

gloss 124c λακίς] κτύπος χειρῶν ἢ σχίσματος· σχιζομένων γὰρ τῶν πέπλων ἦχος γίνεται. στροφὴ ἑτέρα κώλων ζʹ.

gloss 125b ἱππηλάτας] ἤγουν δι’ ἵππων ἐλαύνων, τουτέστιν ἱππικός. πεδοστιβὴς] ἤγουν βάδην πορευόμενος, τουτέστι διὰ τῶν ποδῶν.

gloss 127a σμῆνος] πλῆθος. ὥς] ὥσπερ.

gloss 127c ἐκλέλοιπεν] ἤγουν ἐξῆλθε καταλιπὼν τὰς πόλεις. μελισσᾶν] ων.

gloss 128 ὀρχάμῳ] ἡγεμόνι. τὸν ἀμφίζευκτον] τὸν ἀμφοτέρωθεν ἐζευγμένον διὰ τῶν πλοίων.

gloss 129b ἐξαμείψας] διελθών. ἀμφοτέρας] Ἀσίας καὶ Εὐρώπης.

gloss 130b ἅλιον] θαλάσσιον. πρῶνα] ἐξοχήν.

gloss 131b αἴας] τῆς γῆς ἀμφοτέρας. ἀντιστροφὴ κώλων ζʹ.

gloss 132b λέκτρα] αἱ κοῖται. πόθῳ] φίλτρῳ πίμπλαται] πληροῦται.

gloss 133b δακρύμασι] δάκρυσι τῶν γυναικῶν. Περσίδες] αἱ.

gloss 135b ἀκροπενθεῖς] αἱ. αἱ ἄκρως πενθοῦσαι, αἱ πολύκλαυστοι.

gloss 135c ἑκάστα] η. πόθῳ] φίλτρῳ.

gloss 136b φιλάνορι] ἤγουν τῷ τοῦ ἀνδρός. τὸν αἰχμήεντα] τὸν πολεμικὸν ἀπὸ μέρους.

gloss 137b θοῦρον] ὁρμητικὸν. εὐνατῆρα] σύνοικον, σύνευνον.

gloss 138a προπεμψαμένα] η. ἐκπέμψασα.

gloss 139a λείπεται] ἐναπελείφθη ἐν τοῖς οἴκοις. μονόζυξ] μεμονωμένη, τοῦ συζύγου ἐστερημένη, τροπικῶς.

gloss 140a σύστημα κατὰ περικοπὴν κώλων ιʹ. Πέρσαι] ὦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

gloss 140c ἐνεζόμενοι] ἐγκαθήμενοι. στέγος] ἤγουν εἰς τὰ παλαιὰ βασίλεια.

gloss 142a φροντίδα] ἤγουν φροντίσωμεν περὶ τῶν οἰκείων ἡμῖν. κεδνὴν] συνετὴν.

gloss 142c βαθύβουλον] ἤγουν ἀκριβῶς ἐσκεμμένην. θώμεσθα] ποιήσωμεν.

gloss 143b χρεία] διὰ μέσου τοῦτο. δὲ] γὰρ.

gloss 143d προσήκει] προσῆλθεν. πράσσει] πῶς ἔχει.

gloss 145a Δαρειογενής] ὁ τοῦ Δαρείου υἱός. τὸ πατρωνύμιον] τὸ ἐκ προγόνου τοῦ Περσέως ἔχον τὸ ὄνομα.

gloss 146a ἁμέτερον] η. ἤγουν τὸ Περσικόν.

gloss 146b πότερον] ὑπάρχει. ῥῦμα] ἕλκυσμα· ἤγουν οἱ τοξικοὶ Πέρσαι.

gloss 147b νικῶν] ἐστίν. δορυκράνου] ἤγουν οἱ δόρατα καὶ κράνη ἔχοντες Ἕλληνες.

gloss 149a ἰσχὺς] ἡ δύναμις. κεκράτηκεν] νενίκηκεν.

gloss 150 σύστημα ἕτερον κώλων ε′. φάος] θέαμα.

gloss 151b μήτηρ] ἤγουν ἡ Ἄτοσσα. βασιλέως] * συνίζησις.

gloss 152a βασίλεια] βασίλισσα. προσπιτνῶ] προσκυνῶ.

gloss 153a προσφθόγγοις] προσφωνητικοῖς. χρεὼν] πρέπον.

gloss 154a πάντας] ἡμᾶς. μύθοισι] λόγοις.

gloss 154c προσαυδᾶν] προσλαλεῖν, ἀσπάζεσθαι. βαθυζώνων] βαθυκόλπων.

gloss 155b ἄνασσα] βασίλισσα. Περσίδων] τῶν γυναικῶν.

gloss 155d ὑπερτάτη] ὑψηλοτάτη. θεοῦ pr.

gloss 157a ] τοῦ Δαρείου· οὕτω γὰρ ἐκάλουν τοὺς βασιλεῖς Πέρσαι. συνίζησις.

gloss 157b εὐνήτειρα] σύνευνος. θεοῦ alt.

gloss 157c ] τοῦ Ξέρξου. συνίζησις.

gloss 157d ἔφυς] ὑπάρχεις. εἴ τι] ἤγουν εἰ μὴ ἡ παλαιὰ εὐτυχία τῶν Περσῶν μεταβέβληται, ἣν ἐν τοῖς πολέμοις εἶχον, καὶ πάντων.

gloss 158a ὡς εἰπεῖν ἀνθρώπων ἐδόκουν ἄριστοι. δαίμων] ἡ εὐτυχία.

gloss 158c μεθέστηκε] μεταβέβληται. ταῦτα] ἤγουν διὰ τοῦτο ὃ ἐν φροντίδι ἔχετε μὴ Ξέρξης ἡττηθῇ.

gloss 159b ἱκάνω] καταλαμβάνω ἐνταῦθα. χρυσεοστόλμους] χρυσῷ κεκαλλωπισμένους· στολμὸς γὰρ ὁ καλλωπισμός.

gloss 160a κἀμὸν] ἤγουν καὶ ἐμοῦ. εὐνατήριον] ἤγουν ἐν ᾧ ἡ ἡμετέρα ἦν εὐνή.

gloss 161a καί με καρδίαν] τοῦτο ὅλον καὶ μέρος. ἀμύσσει] σπαράσσει.

gloss 161c ἐρῶ] λέξω. μῦθον] λόγον.

gloss 162b οὐδαμῶς] ἤγουν ἔξω τοῦ καθεστηκότος τυγχάνουσα ὑπὸ φόβου ὃν ἐν τῇ ψυχῇ ἔχω. μέγας] ἤγουν ἡ μεγάλη εὐδαιμονία ἡμῶν.

gloss 163b κονίσσας] ταράξας, δίκην κόνεως κινήσας. οὖδας] τὸ ἔδαφος.

gloss 163d ποδὶ] ἐν. ὄλβον] τὴν εὐδαιμονίαν τῶν Περσῶν.

gloss 164b ἦρεν] ἀνύψωσεν. οὐκ ἄνευ θεῶν] ἀλλὰ μετὰ τῆς βοηθείας τοῦ θεοῦ.

gloss 165a ταῦτα] διὰ τοῦτο. μέριμν’] φροντίς.

gloss 165c ἄφραστος] ἄρρητος, πολλή. ἐν 〈φρεσὶν〉 ] ἐν τῷ λογισμῷ.

gloss 166a ὡρ(αῖον). μήτε χρημάτων] ἤγουν πλοῦτον μὴ συμμάχους ἔχοντα ἄνδρας.

gloss 166c ἐν τιμῇ σέβειν] ἤγουν τιμᾶν τινα. ἀχρημάτοισι] ἤγουν τοῖς πένησι.

gloss 167b φῶς] ἤγουν λαμπρότητα ἣν ὁ πλοῦτος παρέχει. ἤτοι τὸν ἥλιον.

gloss 167c σθένος] δύναμις. πάρα] πάρεστι τῷ φωτί.

gloss 168a ἔστι] ἡμῖν. ἀμεμφής] ἤγουν πολὺς ὃν οὐδεὶς μέμψαιτ' ἄν.

gloss 168c ἀμφὶ δ' ὀφθαλμοῖς] ἤγουν περὶ τοῦ ὀφθαλμοῦ ἡμῶν, τοῦ Ξέρξου λέγω. * γνω(μικόν).

gloss 169b ὄμμα] ἤγουν φῶς. δόμων] τῶν οἴκων.

gloss 169d παρουσίαν] τὴν ἐνδημίαν 〈·ἐν ἄλλοις δὲ γράφεται ‘ παρρησίαν ‘, ὅπερ μᾶλλον ἀποδέχομεν〉. ἐχόντων] ὧν εἶπον.

gloss 170b σύμβουλοι] ἤγουν συμβουλεύσατέ μοι τὸν περὶ τούτου λόγον. τοῦδε] ἤγουν οὗπερ ἐν φροντίδι ἔχω.

gloss 171b Πέρσαι] ὦ. πιστώματα] ἤγουν πιστότατοι γέροντες.

gloss 172a τὰ κέδν'] τὰ συνετά. ἐν ὑμῖν] ἤγουν πᾶσαν τὴν συνετὴν βουλὴν τὴν περὶ τούτων ὑμῖν ἀνατίθημι ὡς ἐμπειρίαν διὰ τὸ γῆρας ἔχουσι καὶ ἡμῖν πιστοτάτοις τυγχάνουσιν.

gloss 173a εὖ] καλῶς. ἴσθι] γίνωσκε.

gloss 173c ἄνασσα] βασίλισσα. ὦ.

gloss 173d φράσαι] λέξαι. ἔπος] λόγον.

gloss 174b ὧν ἂν] ἤγουν ἃ ἂν ὑπ' ἐξουσίαν καὶ δύναμιν ἡμῖν ἐστίν. ἡγεῖσθαι] ἄρχειν.

gloss 175a εὐμενεῖς] πιστοὺς φίλους σοί. τῶνδε] ὧν χρείαν ἔχεις.

gloss 176 νυκτέροις] νυκτερινοῖς. ξύνειμ'] συνυπάρχω· ἤγουν πολλῶν ὀνείρων φαντασίας εἶδον.

gloss 177b στείλας] ὁρμήσας, κινήσας. Ἰαόνων] τῶν Ἀθηναίων ἀπὸ Ἴωνος.

gloss 178b οἴχεται] ἐπορεύθη. πέρσαι] πορθῆσαι.

gloss 179a οὔτι] ὃ φαμὲν κοινῶς ἀκμήν. ἐναργὲς] φανερόν.

gloss 179c εἰδόμην] εἶδον. τῆς πάροιθεν] τῆς προλαβούσης.

gloss 180b εὐφρόνης] νυκτός. διήγησις.

gloss 181a1 ση(μείωσαι). ἐδοξάτην] ἐφάνησαν.

gloss 181b1 ὑπενοήθησαν εἰς ὄψιν ἡμετέραν ἐλθεῖν. εὐείμονε] καλὰ ἐνδεδυμέναι ἱμάτια.

gloss 182a πέπλοισι] ἐνδύμασι. ἠσκημένη] κεκοσμημένη.

gloss 183a αὖτε] πάλιν. Δωρικοῖσιν] Ἑλληνικοῖς.

gloss 183c ὄψιν μολεῖν] θεωρίαν ἡμετέραν ἐλθεῖν. μεγέθει] ἐν.

gloss 184b τῶν] γυναικῶν. κάλλει] ἐν.

gloss 185b ἀμώμω] ἄψογοι. κασιγνήτα] ἀδελφαί.

gloss 186a ταὐτοῦ] ὁμοίου. πάτραν] πατρίδα.

gloss 186c ἔναιον] ᾤκουν. κλήρῳ] ἤγουν διὰ κλήρου.

gloss 187b βάρβαρον] ἤγουν τὴν Ἀσίαν. τούτω] αὗται ἐδοξάτην ἀπὸ κοινοῦ.

gloss 188b ὁρᾶν] βλέπειν. τεύχειν ποιεῖν.

gloss 189b παῖς] ὁ Ξέρξης. κἀπράυνεν] ἡμέρου.

gloss 190a ἅρμασιν] ἤγουν ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ ποιεῖ. αὐτά] αὐτάς.

gloss 191b λέπαδν'] τὰ κοινῶς ζυγόλωρα. χ' ἡ μὲν] καὶ ἥτις μὲν.

gloss 192b τῇδ'] ταύτῃ τῇ Περσικῇ. ἐπυργοῦτο στολῇ] ἐκαλλωπίζετο, ἐσεμνύνετο.

gloss 193 εὔαρκτον] εὐπειθές, ὑπήκοον. ἥδ’] ἡ τὴν Ἑλλάδα οἰκοῦσα.

gloss 194b ἐσφάδαζε] ἐταράττετο, ἐστασίαζε. ἐν τῇ] δεικτικῶς ἐν ταύτῃ τῇ δεξιᾷ.

gloss 195a διασπαράττει] διαρρήσ〈σ〉ει, συνθλᾷ. ξυναρπάζει] ἕλκει.

gloss 196 θραύει] κατακλᾷ. πίπτει] εἰς γῆν.

gloss 197b παῖς] ὁ Ξέρξης. παρίσταται] ἐπάνω αὐτοῦ ἔστη.

gloss 198a οἰκτείρων] κατελεῶν. σφε] αὐτὸν τὸν Ξέρξην.

gloss 198c ὅπως] ἐπεί. ὁρᾷ] βλέπει.

gloss 199a πέπλους] τὰ ἐνδύματα αὐτοῦ. ῥήγνυσιν] σχίζει ὑπ’ αἰδοῦς.

gloss 199b ἀμφὶ] τοὺς περὶ τῷ. εἰσιδεῖν] θεάσασθαι. [1]

gloss 201a ση(μείωσαι). ἀνέστην] ἐξ ὕπνου.

gloss 201c καλλιρρόου] καθαρὸν ἐχούσης ῥεῦμα. ἔψαυσα] ἤγουν ἐνιψάμην ἐκ πηγῆς καθαρᾶς.

gloss 202b θυηπόλῳ] θυσίας μελλούσῃ ἐπενεγκεῖν. βωμὸν] πρὸς τὸν βωμὸν ἔστην.

gloss 203b ἀποτρόποισι] τοῖς ἀποτρεπτικοῖς τῶν κακῶν ὀνειράτων. πέλανον] ἤγουν θῦμά τι.

gloss 204b ὧν] ἤγουν οἵτινές εἰσι τῶν τοιούτων ἔφοροι· λέγει δὲ τὸν Ἀπόλλω. αἰετὸν] ἀετὸν.

gloss 205b ἐσχάραν] ἐν ᾗ τὰ ἱερεῖα τιθέασιν. Φοίβου] τοῦ Ἀπόλλωνος.

gloss 206b ἄφθογγος] ἄφωνος. ἐστάθην] ἔστην.

gloss 206d φίλοι] ὦ. μεθύστερον] μετέπειτα.

gloss 207b κίρκον] ὀξύπτερον. εἰσορῶ] ὁρῶ.

gloss 207d δρόμῳ] ἐν. ἐφορμαίνοντα] ἐπ’ ἐκεῖνον ὁρμήσαντα.

gloss 208b χηλαῖς] τοῖς ὄνυξι. κάρα] τὸ τοῦ ἀετοῦ.

gloss 209a τίλλονθ’] ἤγουν ἐκσπῶντα τὰς τρίχας αὐτοῦ. οὐδὲν ἄλλο] ἐποίει δηλονότι.

gloss 209c πτήξας] φοβηθείς. δέμας] τὸ σῶμα.

gloss 210a 〈π〉αρεῖχε] τῷ κίρκῳ. ταῦτ’] ἤγουν ταῦτα ἰδοῦσα φοβοῦμαι, οἶμαι δὲ καὶ ὑμᾶς ἀκούοντας.

gloss 211a ἀκούειν] ἐστὶ δείματα. εὖ γὰρ ἴστε] καλῶς γὰρ γινώσκετε.

gloss 211c παῖς ἐμὸς] ἤγουν ὁ Ξέρξης. πράξας μὲν εὖ] ἤγουν νικήσας.

gloss 212b εὖ] καλῶς. θαυμαστὸς] ἄξιος θαυμάζεσθαι.

gloss 213a κακῶς δὲ πράξας] ἤγουν ἡττηθείς. οὐχ ὑπεύθυνος] οὐ μεμπτός· ὑπὲρ γὰρ τῆς τῶν Περσῶν ἀρχῆς ὅπως ἔτι μεγίστη γένοιτο προὐνοεῖτο.

gloss 214a ὁμοίως] ὥσπερ καὶ πρώην. τῆσδε] τῆς Περσικῆς.

gloss 214c κοιρανεῖ] βασιλεύει. χθονός] τῆς γῆς.

gloss 215a μῆτερ] ὦ. τοῦ Ξέρξου.

gloss 215b λόγοις] ἐν. προστροπαῖς] παρακλήσεσι.

gloss 216b ἱκνουμένη] ἱκετεύουσα. φλαῦρον] κακόν, φοβερόν.

gloss 217b ἀποτροπὴν] ἀποδίωξιν. τελεῖν] πληροῦν, ποιεῖν.

gloss 218a τὰ δ’ ἀγάθ’] ἤγουν τὸ μετὰ νίκης ὑποστρέψαι ἐκείνους. ἐκτελῆ] πεπληρωμένα.

gloss 218c σέθεν] σοῦ. χρὴ] πρέπει.

gloss 219b χοὰς] θυσίας. φθιτοῖς] τοῖς νεκροῖς.

gloss 220b χέασθαι] ἤγουν ποιῆσαι. πρευμενῶς] συμπαθῶς.

gloss 220d

αἰτοῦ] ζήτει. πόσιν] τὸν ἄνδρα.

gloss 221b φῂς] λέγεις. εὐφρόνην] τὴν νύκτα.

gloss 222a ἐσθλὰ] ἀγαθά. τέκνῳ] τῷ Ξέρξῃ.

gloss 222c ἔνερθεν] ὑπεράνω. τἄμπαλιν] τὰ ἐναντία.

gloss 223b τῶνδε] τῶν ἐσθλῶν κάτοχ'] κεκρατημένα.

gloss 223d ἀμαυροῦσθαι] ἀφανίζεσθαι. σκότῳ] ἐν.

gloss 224a θυμόμαντις] ἤγουν οὐ τέχνῃ μάντις ὤν, ἀλλ' ἐκ λογισμοῦ κρίνων. πρευμενῶς] εὐνοϊκῶς, συμπαθῶς.

gloss 225a πανταχῇ] κατὰ πάντα τρόπον. τελεῖν] πληροῦν τοὺς θεοὺς καὶ τὸν πόσιν.

gloss 225c τῶνδε] ὧν εἶδες. εὔνους] πιστότατος.

gloss 226b ὁ πρῶτος] ἤγουν σὺ ὁ χορός. δόμοις] ἤτοι τῇ ἡμῶν ἀρχῇ.

gloss 227b τήνδ'] ἤγουν τὸ τοῖς θεοῖς εὔχεσθαι καὶ παρ' ἐκείνων ζητεῖν τὰ βέλτιστα. ἐκύρωσας] ἐβεβαίωσας.

gloss 227d φάτιν] φήμην, τὴν σὴν κρίσιν. ἐκτελοῖτο] εἴθε τελεσθείη.

gloss 228b τὰ χρηστά] τὰ ἀγαθά. ἐφίεσαι] ἀποδέχῃ, προστάττεις.

gloss 229a θήσομεν] ποιήσομεν. νέρθε] ὑποκάτω.

gloss 229c φίλοις] ἤτοι τῷ Δαρείῳ. εὖτ' ἄν] ὁπηνίκα.

gloss 230b μόλωμεν] ἔλθωμεν. ἐκμαθεῖν] ἤγουν μαθεῖν.

gloss 231a ποῦ] ποῦ τῆς γῆς ἤγουν ἐν ποίῳ μέρει τῆς οἰκουμένης. φασίν] λέγουσιν.

gloss 231c ἱδρῦσθαι] ἤγουν ἐστηριγμένας εἶναι, ἐκτισμένας. τῆλε] μακράν.

gloss 232b πρὸς] ἐν. ἄνακτος] τοῦ βασιλέως τῶν Περσῶν· τοῦτον γὰρ μάλιστα πάντων σέβουσιν.

gloss 232d φθινασμάτων] δύσεων, λήξεων. ἵμειρ'] ἤγουν ἐπεθύμησεν.

gloss 233b ἐμὸς] ὁ. παῖς] ὁ Ξέρξης.

gloss 233d θηράσαι] ἀγρεῦσαι, πορθῆσαι. πᾶσα] ναί.

gloss 234b ἄν] εἰ τὰς Ἀθήνας εἷλε. βασιλέως] ἤγουν τοῦ Ξέρξου.

gloss 234d ὑπήκοος] δούλη. ὧδε] οὕτως.

gloss 235b πάρεστιν] ὑπάρχει. αὐτοῖς] τοῖς Ἀθηναίοις.

gloss 235d ἀνδροπλήθεια] ἤγουν ἀνδρῶν πλῆθος καὶ στρατὸς πολύς. καὶ] ναί.

gloss 236b τοιοῦτος] ἐστίν. ἔρξας] ποιήσας· ‘ῥέζω‘ γὰρ τὸ ‘πράττω‘.

gloss 236d πολλὰ] τοὺς Πέρσας, ὅτε εἰς Μαραθῶνα ἡττήθησαν ἐπὶ Δαρείου. πρὸς] πρὸς τῷ πλήθει καὶ τῇ ἀνδρίᾳ.

gloss 237b ἐξαρκὴ] πολύς, ἀρκετός. δόμοις] ἐν.

gloss 238a ἀργύρου] ἐν Θορικῷ γὰρ τῆς Ἀττικῆς ἀργύρου μέταλλα. χθονὸς] τῆς γῆς.

gloss 239a πότερα] ποῖόν ἐστιν αὐτοῖς. τοξουλκὸς] τοξική.

gloss 239c αἰχμὴ] βέλος. πρέπει] ἤγουν ἐπιτηδεύεται.

gloss 240a ἔγχη] δόρατα. σταδαῖα] στάσιμα καὶ ἀγχέμαχά ἐστι τούτοις.

gloss 240c σαγαὶ] πανοπλίαι. ποιμάνωρ] ἡγεμών.

gloss 241b ἔπεστι] ἐφίσταται τῷ στρατῷ. κἀπιδεσπόζει] αὐτοῦ.

gloss 242a κέκληνται] καλοῦνται. φωτὸς] ἀνδρός.

gloss 242c ὑπήκοοι] ὑποτελεῖς. πῶς ἄν] μὴ ὄντος τοῦ συνέχοντος αὐτοὺς ἐν πολέμῳ ἄρχοντος.

gloss 243b μένοιεν] ἤγουν καρτερήσωσι καὶ οὐ φεύξονται. ἐπήλυδας] ξένους.

gloss 244a ὥστε] οὕτως ὑπομένουσιν. φθεῖραι] ἀφανίσαι.

gloss 245a ἰόντων] τῶν ἀπιόντων ἐκεῖσε παίδων. τεκοῦσι] τοῖς πατράσι.

gloss 245c φροντίσαι] ἤγουν λογίσασθαι. δοκεῖν] ἐστί.

gloss 246b τάχ’] ταχέως. εἴσῃ] γνώσῃ.

gloss 246d νημερτῆ] ἀληθῆ. δράμημα] τὴν σπουδαίαν ἄφιξιν.

gloss 247b φωτὸς] ἀνδρός. πρέπει] χρή.

gloss 248a σαφές] φανερόν, ἀληθές. πρᾶγος] πρᾶγμα.

gloss 248c ἐσθλὸν] ἀγαθόν. κλύειν] ἀκούειν.

gloss 249 πολίσματα] ἤγουν πόλεις. αἶα] γῆ.

gloss 250b πολὺς πλούτου λιμὴν] ἤγουν πλοῦτε περιφραστικῶς. ἐν μιᾷ πληγῇ] ἐν ἑνὶ πολέμῳ.

gloss 251b κατέφθαρται] ἐφθάρη, ἀπώλετο. ὄλβος] εὐδαιμονία.

gloss 252b ἄνθος] τὸ ἐξαίρετον. οἴχεται] ἀπώλετο.

gloss 252d πεσὸν] καταβληθέν. ὤμοι] φεῦ.

gloss 253b κακὸν] ‘ στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν ‘ κατὰ τὸν Σοφοκλέα. ἀναπτύξαι] ἀνακαλύψαι, δηλῶσαι.

gloss 255a Πέρσαι] ὦ. ὄλωλε] ἀπώλετο.

gloss 255c βαρβάρων] τῶν. στροφὴ κώλων δʹ.

gloss 256b ἄνια] ἀνίατα, λυπηρά. νεόκοτα] ἐκ νέας ὀργῆς δαίμονος ἐπελθόντα.

gloss 257a δάϊ’] πολεμικά, ἀφανιστικά. διαίνεσθε] βρέχεσθε ἤγουν δακρύετε.

gloss 257c Πέρσαι] ὦ. τόδ’ ἄχος] τὴν λύπην· κλύοντες] ἀκούοντες.

gloss 260a ἐκεῖνα] ἃ ἐπίστασθε· διαπεπραγμένα] διεφθαρμένα.

gloss 261a ἀέλπτως] ἀνελπίστως. νόστιμον] ὑποστρεπτικὸν.

gloss 262a ἀντιστροφὴ κώλων δʹ. ἦ] ὄντως.

gloss 262c μακροβίοτος] μακροχρόνιος. ὅδε] ὁ καθ’ ἡμᾶς.

gloss 264a αἰὼν] ὁ χρόνος. ἐφάνθη] ἐφάνη.

gloss 265a γεραιοῖς] τοῖς. ἤγουν ἡμῖν.

gloss 265b ἀκούειν] ὥστε. τόδε] ἤγουν τὴν παροῦσαν βλάβην καὶ συμφοράν.

gloss 265d ἄελπτον] ἀνέλπιστον. κλύων] ἀκούων.

gloss 267a Πέρσαι] ὦ. φράσαιμ’ ἂν] εἴποιμ’ ἂν.

gloss 267c οἷ’] ὁποῖα. ἐπορσύνθη] παρὰ τῶν Ἑλλήνων ἐγεγόνει τοῖς Πέρσαις.

gloss 268a στροφὴ ἑτέρα κώλων 〈δʹ〉. ὀττοττοτοῖ] φεῦ.

gloss 268c μάταν] η. τὰ πολλὰ] ἤγουν ὁ στρατὸς ὁ ἐκ πολλῶν καὶ διαφόρων ἐθνῶν συγκεκροτημένος.

gloss 270a 〈γ〉ᾶς] η. ἀπ’ Ἀσιάδος] τῆς Ἀσίας.

gloss 270c αἶαν] γῆν δῖαν] ἔνδοξον.

gloss 271b Ἑλλάδα] τὴν Ἑλληνικήν. πλήθουσι] πλήρεις εἰσί.

gloss 272b δυσπότμως] ἀθλίως, δυστυχῶς. ἐφθαρμένων] ἀποθανόντων.

gloss 273a

Σαλαμῖνος] τῆς νήσου. ἀκταὶ] τὰ παραθαλάσσια.

gloss 273c πρόσχωρος πλησιάζων τῇ Σαλαμῖνι. ἀντιστροφὴ κώλων δʹ.

gloss 274b ὀττοττοτοῖ] φεῦ. ἁλίδονα] ἐν τῇ θαλάσσῃ ταραττόμενα, φερόμενα ἄνω καὶ κάτω.

gloss 275b πολυβαφῆ] ἐξ αἵματος. κατθανόντα] ἀποθανόντα.

gloss 276b φέρεσθαι] κινεῖσθαι. πλαγκτοῖς] ταῖς πλησιαζομέναις ὑπὸ τῶν κυμάτων ἢ ἐν αἷς ταῦτα πλανῶνται.

gloss 277b διπλάκεσσιν] διαύλοις. οὐδὲν] ναί.

gloss 278b ἤρκει] ἐβοήθει, ἀρκετὰ ἦν. ἀπόλλυτο] ἐφθάρη στρατὸς] τῶν Περσῶν.

gloss 279b δαμασθεὶς] καταβληθείς. ναίοισιν] ναυτικαῖς.

gloss 279d ἐμβολαῖς] συγκρούσεσιν. στροφὴ ἑτέρα κώλων δʹ.

gloss 280b ἴυζ’] βόα θρηνητικῶς· τοῦτο δὲ ὁ χορὸς πρὸς ἀλλήλους λέγει. ἄποτμον] ἀθλίαν, δυστυχῆ.

gloss 280d βοάν] η. δυσαιανῆ] δυσθρήνητον· ‘αἰάζω‘ γὰρ τὸ ‘θρηνῶ‘.

gloss 281b δαΐοις] πολεμικοῖς. συνίζησις.

gloss 282 ὡς] ἤγουν τὸ καθ’ Ἑλλήνων στρατεῦσαι κακῶς διενοήθησαν· ἐφθάρησαν γάρ. αἶ αἶ] φεῦ.

gloss 283b στρατοῦ] ἕνεκα. φθαρέντος] ἀπολωλότος.

gloss 284a ἔχθος] μῖσος. κλύειν] ὥστε ἀκούειν ἡμᾶς.

gloss 285a τῶν Ἀθηνῶν] ἐκεῖ γὰρ πάντες οἴχονται Πέρσαι. ὡς] λίαν.

gloss 285c στένω] στενάζω. ἀντιστροφὴ κώλων δʹ.

gloss 286b στυγναί] λυπηραί. Ἀθᾶναι] η.

gloss 286c1 αἱ. δαΐοις] τοῖς πολεμίοις.

gloss 286d1 συνίζησις. μεμνῆσθαί τοι πάρεις’] οὕτω διὰ τὸ μέτρον.

gloss 287b ὡς] ὅτι. πολλὰς] μητέρας, γαμετάς, ἢ πόλεις.

gloss 288b μάταν] η. ἔκτισαν] ἐποίησαν.

gloss 289a εὔνιδας] ἐστερημένας τῶν παίδων. ἀνάνδρους] ἐστερημένας τῶν ἀνδρῶν αὐτῶν.

gloss 290a δύστηνος] ἡ ἀθλία. ἐκπεπληγμένη] ἐκπλαγεῖσα.

gloss 291a κακοῖς] ἐν. ὑπερβάλλει] ἤγουν νικᾷ, ἐκ μεταφορᾶς τῶν τρεχόντων.

gloss 291c ἥδε] ἡ κατὰ τῶν Περσῶν. λέξαι] εἰπεῖν τι περὶ τούτου.

gloss 293a γνω(μικόν). ἀνάγκη] ἐστί.

gloss 293c πημονὰς] βλάβας, συμφοράς. φέρειν] ὑπομένειν.

gloss 294a θεῶν διδόντων] ἡμῖν. ταύτας δηλονότι.

gloss 294b ἀναπτύξας] ἀνακαλύψας, σαφηνίσας. καταστὰς] ἐν σεαυτῷ γενόμενος.

gloss 296a οὐ τέθνηκε] οὐκ ἀπέθανεν. πενθήσομεν] θρηνήσομεν ἀποθανόντα δηλονότι.

gloss 297a τῶν ἀρχελείων] τῶν ἀρχόντων τῶν λεῶν, τῶν ἡγεμόνων. ὅστ’] ὅστις.

gloss 297c σκηπτουχίᾳ] ἀρχῇ, βασιλείᾳ. τάξιν] τὸ τάγμα.

gloss 298b ἠρήμου] ἔρημον εἴα. τε καὶ] ἐκ παραλλήλου.

gloss 300a δώμασιν] τοῖς οἴκοις. φάος] φῶς γάρ ἐστι τῶν οἴκων ὁ δεσπότης, ὡς προείρηται.

gloss 301a ἦμαρ] ἡμέραν. μελαγχίμου] μελαίνης.

gloss 302a μυρίας πολλῆς. βραβεὺς] ἡγεμών.

gloss 303a στύφλους] σκληράς. ἀκτὰς] τοὺς λιμένας θείνεται] τύπτεται, πλήττεται.

gloss 304 πληγῇ τρώσει. κοῦφον] ταχύ.

gloss 305b νεὼς] τῆς αὐτοῦ. ἀφήλατο] ἐπήδησεν.

gloss 306a Βακτρίων] Βάκτρα πόλις Περσῶν. ἰθαιγενὴς] πολίτης γνήσιος· διὰ τὸ μέτρον.

gloss 307a θαλασσόπλακτον] τὴν ὑπὸ θαλάσσης πληττομένην. νῆσον] τὴν Σαλαμῖνα.

gloss 307c πολεῖ περι φέρεται. τὴν πελειοθρέμμονα] τὴν περιστερὰς ἔχουσαν μᾶλλον τῶν ἄλλων.

gloss 310a νικώμενοι] ἡττηθέντες καὶ ἀποθανόντες. κύρισσον] προσέκρουον.

gloss 310c ἰσχυρὰν] πετρώδη· τοιαύτη γὰρ ἡ Σαλαμίς. γειτονῶν] ὁ πλησιάζων.

gloss 311b Αἰγυπτίου] τοῦ ἐν Αἰγύπτῳ. Ἀρκτεύς] κύριον ὄνομα.

gloss 312b Ἀδεύης] ἐπίθετον. Φαρνοῦχος] ὁ.

gloss 313b οἵδε] οὗτοι. πέσον] ἔπεσον.

gloss 314a Χρυσεὺς] κύριον. Μέταλλος] ἐπίθετον. μυριόνταρχος] μυρίων ἄρχων ἀνδρῶν. [1]

gloss 316a πυρρὰν] ξανθήν. ζαπληθῆ] πολλὴν.

gloss 316c δάσκιον] μεγίστην διὰ τὸ πλῆθος ἀποτελοῦσαν σκιάν. ἔτεγγ’] ἔβρεχεν.

gloss 317b ἀμείβων] ἐναλλάττων. χρῶτα] ὄψιν.

gloss 317d πορφυρέᾳ] ἐρυθρᾷ τῇ τοῦ αἵματος. ὀξείᾳ.

gloss 318 Βάκτριος] ὁ ἀπὸ τῆς πόλεως Βάκτρα καλουμένης. σκληρᾶς] πετρώδους 〈·τοιαύτη γὰρ ἡ Βάκτρα πόλισ〉.

gloss 319b γῆς] τῶν Βάκτρων. κατέφθιτο] ἐφθάρη.

gloss 320 πολύπονον] βαρὺ καὶ πολὺν πόνον παρέχον αὐτῷ. νωμῶν] κινῶν, κατέφθιτο, ἀπὸ κοινοῦ.

gloss 321b ἐσθλὸς] ἀγαθός. Ἀριόμαρδος] κατέφθιτο.

gloss 321d Σάρδεσιν] ἐκεῖθεν γὰρ ἦν. παρασχών] δούς.

gloss 322b ὁ Μύσιος] ὁ ἀπὸ Μυσίας τῆς ἐν τῇ Προύσῃ. πεντήκοντα πεντάκις] ἤγουν διακοσίων πεντήκοντα.

gloss 324a ταγός] ἡγεμών. Λυρναῖος] Λύρνα πόλις.

gloss 324c εὐειδὴς] ὡραῖος τὴν ὄψιν. δείλαιος] ὁ ἄθλιος.

gloss 325b εὐτυχῶς] ἀλλὰ δυστυχῶς. εὐψυχίαν] τόλμην, ἀνδρείαν.

gloss 327a ἄπαρχος] ἐξαίρετος· ἀπὸ τοῦ ‘ἀπαρχή‘ γὰρ γίνεται. πλεῖστον] πολὺν.

gloss 328a ἐχθροῖς] τοῖς Ἕλλησι. παρασχὼν] δούς.

gloss 328c εὐκλεῶς] ἐνδόξως· πολλὰ γὰρ μοχθήσαντες τοῦτον καθεῖλον. τοιῶνδε] περὶ τοιῶνδε καὶ τοιούτων ἀρχόντων ὑπεμνήσθην.

gloss 330a παρόντων] κακῶν. ἀπαγγέλλω] μηνύω, λέγω.

gloss 331a αἶ αἶ] φεῦ. ὕψιστα] μέγιστα, ὑπέρτατα.

gloss 331c κλύω] ἀκούω. αἴσχη] αἰσχύνας, ὀνείδη.

gloss 332b λιγέα] ὀξέα. κωκύματα] θρηνήματα.

gloss 333a ἀτὰρ] δὲ. φράσον] εἰπὲ.

gloss 333c ἀναστρέψας] ἀναλαβὼν τὸν σὸν λόγον. νεῶν] τῶν πλοίων.

gloss 334b Ἑλληνίδων] τῶν Ἑλληνικῶν. ἀξιῶσαι] ἄξιον κρῖναι.

gloss 336a συνάψαι] ποιήσασθαι. ναΐοισιν] ναυτικαῖς.

gloss 336c ἐμβολαῖς] προσβολαῖς. σάφ’] σαφῶς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

gloss 337b ἴσθ’] γίνωσκε. ἕκατι] χάριν.

gloss 337d βαρβάρων] τῶν. ἦν.

gloss 338a ναυσὶ] ἐν. κρατῆσαι] τῶν Ἑλλήνων.

gloss 338c Ἕλλησιν] τοῖς. ἀριθμὸς] τῶν ναῶν· ἐνταῦθα γὰρ σύναψον.

gloss 339b τριακάδας δέκα] ἤγουν τριακοσίας ναῦς εἶχον. δεκὰς] αἳ ἦσαν τῶν Αἰγινητῶν.

gloss 340b χωρὶς] ἰδίᾳ. ἔκκριτος] ἐκλελεγμένη τῷ τάχει.

gloss 341a Ξέρξῃ] τῷ. οἶδα] γινώσκω.

gloss 341c χιλιὰς] τὸ πλῆθος τῶν νεῶν ὧν ἦγε. ὑπέρκομποι] ἐξαίρετοι.

gloss 342b τάχει] τῷ. ἑκατὸν δὶς] ἤγουν διακόσιαι· αἳ ἦσαν τῶν Φοινίκων.

gloss 343b ὧδ’] οὕτως. μή] ἆρα.

gloss 344b δοκοῦμεν] ἤγουν οὕτως ἔχοντες. λειφθῆναι] ἤγουν ἡττηθῆναι.

gloss 344d μάχῃ] ἐν. ὧδε οὕτως.

gloss 346a τάλαντα] τὰ ζυγὰ τῆς νίκης. βρίσας] βαρύνας, ἐπικλίνας εἰς τοὺς Ἕλληνας.

gloss 346c ἰσορρόπῳ] ἴσως νευούσῃ. Παλλάδος] τῆς Ἀθηνᾶς.

gloss 348a ἔτ’] εἰς τὸ ἑξῆς. Ἀθηνῶν] ἐπεὶ οἱ θεοὶ σῴζουσιν αὐτήν.

gloss 349a ἀνδρῶν] ἀνδρείων. ὄντων] τῶν Ἀθηναίων.

gloss 349c ἕρκος] ἡ βοήθεια τῶν θεῶν. τὸ περίφραγμα αὐτῶν ἤγουν ἡ πόλις.

gloss 350a συμβολῆς] συρρήξεως. φράσον] λέξον.

gloss 351 κατῆρξαν] τῆς μάχης· ἐνταῦθα σύναπτε. ὁ παῖς] ὁ Ξέρξης.

gloss 352b καταυχήσας] θαρρήσας. νεῶν] τῶν πλοίων.

gloss 353 διήγησις. ἀλάστωρ] φθορεύς.

gloss 355 ἀνὴρ] Σύκινος ὁ Θεμιστοκλέους παιδαγωγός, ὃν αὐτὸς 〈ὁ〉 Θεμιστοκλῆς ἔπεμψεν. ἔλεξε] εἶπεν.

gloss 356b παιδὶ] τῷ. ὡς] ὅτι.

gloss 357b ἵξεται] ἐλεύσεται. κνέφας] σκότος.

gloss 358a μένοιεν] ἐν τῇ πόλει. σέλμασιν] καθέδραις.

